1097 ἐάν R: ἥν Γ ‖ **1102** ἆρ' R : ἄρ' Γ ‖ **1104** συννήξομαι (ξυν- Bothe) Bisel (-Port) : συνείξομαι RΓ ‖ **1106** τοῖνδε τοῖν Cobet : ταῖνδε (-δαι R) ταῖν RΓ ‖ ἐμπλέων Willems ; cf. Thuc. III 77,2 οἱ ἐμπλέοντες = οἱ ἐπιβάται et Ran. 48 : ἐσπλέων RΓ ‖ **1107** ἐπ' αὐτῷ R : ἐμαυτῷ Γ ἐμαυτὸν B ἐν αὐτῷ Ald. ‖ **1108** τήνδ' Bergler : τῶν RΓAld. : τὴν (η in ras.) B ‖ **1109** -πιττώσαντες Γ : -πιττώσαντας R ‖ **1110** μολυβδο- R : μολιβδο- Γ ‖ -χοήσαντες van Herwerden : -χοήσαντας RΓ ‖ **1111** 'πιθεῖναι BAld. : 'πιθῆναι R 'πιτιθεῖναι Γ ‖ **1112** Θερ. ΓAld. : om. B par. R Διακ. θεράπαινα ΣR ‖ δὲ γῆ Dobree : δ' ἐγὼ RΓ ‖ **1113** αὐτή B : αὔτη RAld. αὕτη Γ ‖ **1114** θ' Dindorf : δ' RΓ ‖ παρέστατ' R : πάρεστ' Γ ‖ ταῖσιν R : ταῖσι Γ ‖ **1115** τε¹ R : om. Γ ‖ οἵ τε δημόται Brunck : οἱ τῶν δημοτῶν RΓ ‖ **1117** μεμύρισμαι Athen. p. 691 b : μεμύρωμαι RS μύρωμαι Γ.

exquises, ô Zeus! Mais bien supérieures à toutes ces essences sont les petites amphores de Thasos : car dans ma tête leur parfum demeure longtemps, tandis que tout le reste a vite fait de perdre sa fleur et de s'évaporer. Aussi elles sont de beaucoup les meilleures, oui, de beaucoup, ô dieux. Trempe du vin pur; il nous tiendra en joie toute la nuit, tandis que nous choisirons celui qui a le plus de bouquet (*Au Chœur.*) Mais, ô femmes, dites-moi où est mon maître, le mari de ma maîtresse.

La Coryphée. — Reste ici, tu le retrouveras, ce nous semble. (*Blépyros s'avance.*)

La Servante. — Très juste. Car le voici qui vient pour le dîner. — O Maître, ô bienheureux, trois fois fortuné !

Blépyros. — Moi?

La Servante. — Toi sans doute, par Zeus, et comme nul au monde. Car qui pourrait être plus fortuné que toi, qui de nos citoyens au nombre de plus de trente mille, es le seul à n'avoir pas encore dîné?

La Coryphée. — Oui, un homme bienheureux, tu as bien dit.

La Servante. — Où, où vas-tu?

Blépyros. — Je vais au dîner.

La Servante. — Oui, par Aphrodite, tu arrives de beaucoup le dernier de tous. Tout de même, ton épouse me disait de te prendre et de t'amener, et avec toi ces jeunes femmes. Du vin de Chios est resté, et toutes les autres bonnes choses. (*Au Chœur.*) Ainsi ne tardez pas. — Et que ceux des spectateurs qui nous sont favorables, ceux des juges qui ne regardent pas ailleurs, viennent avec nous ; nous leur fournirons tout.

comme un autre Léonidas, pour obéir aux lois de sa patrie, il demande à être enterré au lieu de ses exploits, à l'embouchure du chenal. Coupé en deux, il n'aura pu « manœuvrer à deux avirons l'une et l'autre » (cf. 1091) ; chaque moitié n'aura eu qu'un aviron. Un monument d'une espèce originale commémorera son sacrifice et sa vaillance.

ἀγαθοῖσιν, ὦ Ζεῦ. Πολὺ δ' ὑπερπέπαικεν αὖ
τούτων ἁπάντων τὰ Θάσι' ἀμφορείδια·
ἐν τῇ κεφαλῇ γὰρ ἐμμένει πολὺν χρόνον,
τὰ δ' ἄλλ' ἀπανθήσαντα πάντ' ἀπέπτετο·
ὥστ' ἐστὶ πολὺ βέλτιστα, πολὺ δῆτ', ὦ θεοί.
Κέρασον ἄκρατον· εὐφρανεῖ τὴν νύχθ' ὅλην
ἐκλεγμένας ὅ τι ἂν μάλιστ' ὀσμὴν ἔχῃ.
Ἀλλ', ὦ γυναῖκες, φράσατέ μοι τὸν δεσπότην,
τὸν ἄνδρ', ὅπου 'στί, τῆς ἐμῆς κεκτημένης.
ΧΟ. Αὐτοῦ μένουσ' ἡμῖν γ' ἂν ἐξευρεῖν δοκεῖς.
ΘΕ. Μάλισθ'· ὁδὶ γὰρ ἐπὶ τὸ δεῖπνον ἔρχεται.
Ὦ δέσποτ', ὦ μακάριε καὶ τρισόλβιε.
ΒΛ. Ἐγώ;
ΘΕ. Σὺ μέντοι νὴ Δί', ὥς γ' οὐδεὶς ἀνήρ.
Τίς γὰρ γένοιτ' ἂν μᾶλλον ὀλβιώτερος,
ὅστις πολιτῶν πλεῖον ἢ τρισμυρίων
ὄντων τὸ πλῆθος οὐ δεδείπνηκας μόνος;
ΧΟ. Εὐδαιμονικόν γ' ἄνθρωπον εἴρηκας σαφῶς.
ΘΕ. Ποῖ ποῖ βαδίζεις;
ΒΛ. Ἐπὶ τὸ δεῖπνον ἔρχομαι.
ΘΕ. Νὴ τὴν Ἀφροδίτην, πολύ γ' ἁπάντων ὕστατος.
Ὅμως δ' ἐκέλευε συλλαβοῦσάν μ' ἡ γυνὴ
ἄγειν σε καὶ τασδὶ μετὰ σοῦ τὰς μείρακας.
Οἶνος δὲ Χῖός ἐστι περιλελειμμένος
καὶ τἄλλ' ἀγαθά. Πρὸς ταῦτα μὴ βραδύνετε,
καὶ τῶν θεατῶν εἴ τις εὔνους τυγχάνει,
καὶ τῶν κριτῶν εἰ μή τις ἑτέρωσε βλέπει,

1119 τούτων R Ald. : τῶν Γ αὐτῶν B || 1121 πάντ' ἀπέπτετο Brunck : πάντα πέπτατο (-τ' ἀπ- S^{rel.}) RΓS^{VM} || 1123 ἄκρατον R : ἄκατον Γ || 1124 ἔχῃ Ald. : εχει R ἔχοι ΓB || 1125 μοι R : μου Γ || 1126 'στὶ ΓS : 'στιν R || 1127 αὐτοῦ μένουσ' R : αἰτουμένης Γ || γ' ἂν Brunck : γὰρ RΓ || 1130 Βλ. Voss : om. ΓB Ald. par. R || 1135 Βλ. Voss : om. B par. RΓ Δεσ. Ald. || 1136 — finem desunt in ΓB || 1137 -λαβοῦσαν (in -άν corr. Kuster) Ald. : λαβοῦσα R || 1139 περι- Ald. : παρα- R.

Blépyros. — Que ne t'adresses-tu généreusement à tous[1], sans omettre personne ? Invite libéralement vieillards, jeunes gens, petits enfants. Car le dîner est préparé pour tous tant qu'ils sont... s'ils s'en vont chez eux[2]. Moi, je vais me dépêcher d'aller au banquet. Justement, voyez-vous, je porte la torche que voilà, à souhait.

La Servante. — Qu'as-tu à perdre le temps, au lieu d'emmener ces femmes[3]? Tandis que tu descendras[4], moi je vais entonner un chant de prélude au festin.

La Coryphée. — *(Aux Spectateurs.)* Je veux faire une petite suggestion aux juges : que les sages m'adjugent le prix sur le souvenir de mes sages paroles; que ceux qui aiment rire m'adjugent le prix sur ce qui les fait rire. C'est donc tous ou peu s'en faut, évidemment, que j'invite à me décerner le prix; et que le sort ne me devienne en rien préjudiciable, qui m'assigna la priorité. Il faut qu'au souvenir de tout cela vous ne manquiez pas à votre serment; mais jugez les chœurs avec équité, toujours. N'allez pas ressembler dans votre manière aux mauvaises hétaïres, qui ont seulement souvenance des derniers venus, toujours.

La Servante. — *(Au Chœur.)* Oh! Oh! il est temps, chères femmes, si voulons faire la chose, de vous rendre au dîner, en ajustant vos pas à mon chant. — *(A Blépyros.)* Or donc, à la manière crétique[5], meus tes pieds toi aussi.

Blépyros. — Ainsi fais-je.

[1] Cf. *Paix* 50, et suivants.

[2] Autres facéties de ce genre 1175 ; *Lysistrata*, 1071, 1213-15.

[3] A savoir : les femmes du Chœur.

[4] Pour aller en ville du théâtre de Dionysos construit au pied de l'Acropole, on *descendait*. C'est ainsi que dans les *Guêpes*, 1514-1515, Philocléon est censé *descendre* pour entrer en lice avec les danseurs, fils de Carcinos le Crabe, vers la mer. Par contre, dans les *Cavaliers*, 148, le Charcutier qui passe dans la rue pour aller au marché est invité à *monter* pour entrer dans l'Orchestra.

[5] La manière crétique consistait en une pantomime appelée *hyporchéma*, d'origine crétoise, de danses avec accompagnement de mu-

ἴτω μεθ' ἡμῶν· πάντα γὰρ παρέξομεν.
ΒΛ. Οὔκουν ἅπασι δῆτα γενναίως ἐρεῖς
καὶ μὴ παραλείψεις μηδέν', ἀλλ' ἐλευθέρως
καλεῖς γέροντα, μειράκιον, παιδίσκον; ὡς
τὸ δεῖπνον αὐτοῖς ἐστ' ἐπεσκευασμένον
ἁπαξάπασιν, — ἢν ἀπίωσιν οἴκαδε.
Ἐγὼ δὲ πρὸς τὸ δεῖπνον ἤδη 'πείξομαι·
ἔχω δέ τοι καὶ δᾷδα ταυτηνὶ καλῶς.
ΘΕ. Τί δῆτα διατρίβεις ἔχων, ἀλλ' οὐκ ἄγεις
τασδὶ λαβών; Ἐν ὅσῳ δὲ καταβαίνεις, ἐγὼ
ἐπᾴσομαι μέλος τι μελλοδειπνικόν.

ΧΟ. Σμικρὸν δ' ὑποθέσθαι τοῖς κριταῖσι βούλομαι·
τοῖς σοφοῖς μὲν τῶν σοφῶν μεμνημένοις κρίνειν ἐμέ,
τοῖς γελῶσι δ' ἡδέως διὰ τὸν γέλων κρίνειν ἐμέ.
Σχεδὸν ἅπαντας οὖν κελεύω δηλαδὴ κρίνειν ἐμέ,
μηδὲ τὸν κλῆρον γενέσθαι μηδὲν ἡμῖν αἴτιον,
ὅτι προείληχ'. Ἀλλὰ πάντα ταῦτα χρὴ μεμνημένους
μὴ 'πιορκεῖν ἀλλὰ κρίνειν τοὺς χοροὺς ὀρθῶς ἀεί,
μηδὲ ταῖς κακαῖς ἑταίραις τὸν τρόπον προσεικέναι,
αἳ μόνον μνήμην ἔχουσι τῶν τελευταίων ἀεί.
ΘΕ. Ὦ, ὢ, ὥρα
δή, φίλαι γυναῖκες, εἴπερ μέλλομεν τὸ χρῆμα δρᾶν,
ἐπὶ τὸ δεῖπνον ὑπανακινεῖν. Κρητικῶς οὖν τὼ πόδε
καὶ σὺ κίνει.
ΒΛ. Τοῦτο δρῶ.

1144 Βλ. Bothe : om. Ald. par. R || οὔκουν R : οὐκοῦν Ald. || 1145 -λείψεις Brunck : -λείψῃς R Ald. || 1146 καλεῖς Cobet : καλεῖν R Ald. || 1150 ἔχω δέ R : ἔχουσά Ald. || 1151 Θε. Wilemowitz (1903) et Willems (1904) : om. Ald. par. R || 1153 μελλο- RS : μελο- Ald. || 1154 Χο. Wilamowitz et Willems : om. R Ald. || 1155 σοφοῖς Scaliger : σοφοῖσι R Ald. || μεμνημένοις R : μεμνημένους Ald. || 1159 ἀλλὰ πάντα R : ἀλλ' ἅπαντα Ald. || 1161 τὸν Bentley : τόν τε R τόν γε Ald. || 1163 Θε. Wilamowitz et Willems : om. Ald. 'Ημιχ. R || ὦ, ὢ Bothe : ω ω R ὢ ὢ Ald. || 1166 Βλ. (Δεσ. Enger) Meineke : 'Ημιχ. R Ald.

La Servante. — *(Montrant les femmes du Chœur.)* Et celles-ci maintenant qui n'ont que trop le ventre creux, encourage-les à marquer lestement de leurs jambettes le rythme de la danse. Car bientôt on servira : *(Tout d'une haleine, comme un seul mot[1].)* patelles — saline — raies — mustelles — rémoulade de restants de cervelles assaisonnée de silphium et de fromage — grives arrosées de miel — merles — ramiers — bisets — coqs — fritures de muges — bergeronnettes — pigeons — lièvres — croquants en forme d'ailes macérés dans du vin cuit !! Et toi qui as entendu tout cela, vite, vite prends une écuelle ; puis dépêche-toi de prendre de la purée, pour que tu aies... de quoi dîner[2].

Blépyros. — Mais on dévore quelque part.

Le Chœur. — *(Sortant en dansant, Blépyros en tête.)* Sautez haut, io, io ! Nous allons dîner, évoé ! évoé ! évoé ! comme pour la victoire ! évoé ! évoé ! évoé ! évoé !

sique ou de chant. Cf. Platon, *Ion*, 534 *c*, Denys d'Halicarnasse, *Démosthène*, 7, etc.

[1] Ces composés multiples n'étaient pas rares chez les Comiques. Cf. *Oiseaux*, 491. Ce qui rend celui-ci particulièrement plaisant et expressif, c'est la rapidité avec laquelle est débité cet entassement prodigieux de mets divers composant un seul repas.

[2] Surprise, comme au vers 1148.

ΘΕ. Καὶ τάσδε νῦν λαγαρὰς ⟨ἄγαν⟩
⟨ταχὺ χορείας ὄρσον ὑπάγειν⟩ τοῖν σκελίσκοιν τὸν ῥυθμόν.
Τάχα γὰρ ἔπεισι
λεπαδοτεμαχοσελαχογαλεο-
κρανιολειψανοδριμυποτριμματο-
σιλφιοτυρομελιτοκατακεχυμενο-
κιχλεπικοσσυφοφαττοπεριστερα-
λεκτρυονοπτοκεφαλιοκιγκλοπε-
λειολαγῳοσιραιοβαφητραγα-
λοπτερυγών. Σὺ δὲ ταῦτ' ἀκροασάμε-
νος ταχέως ταχέως λαβὲ τρύβλιον·
εἶτα κόνισαι λαβὼν
λέκιθον, ἵν' ἐπιδειπνῇς.
ΒΛ. Ἀλλὰ λαιμάττουσί που.
ΧΟ Αἴρεσθ' ἄνω, ἰαὶ ἰαί.
Δειπνήσομεν, εὐοῖ, εὐαῖ,
εὐαῖ, ὡς ἐπὶ νίκῃ·
εὐοῖ, εὐοῖ, εὐαῖ, εὐαῖ.

1166 Θε. Wilamowitz et Willems : Ἡμιχ. RAld. ‖ ⟨ἄγαν⟩ Coulon : om. R Ald. Λαγαρὰς ⟨ἄγαν⟩ = *inanes* (cf. Plaut. Stich. 231 et Hor. Sat. 2, 2, 14) ⟨*admodum*⟩ idem fere valet quod in Thesm. 984 νηστεύομεν δὲ πάντως = *sumus autem prorsus jejunae.* ‖ **1167** τάχα (in ταχὺ corr. Coulon) χορείας ὄρσον ὑπάγειν⟩ White cl. Thesm. 956 : om. R Ald. ‖ **1169** λεπαδο- Le Febvre : λοπαδο- R Ald. S ‖ -τεμαχοσελαχο- Ald. S : -τεμαχόσσελαχο- (λαγο inter σε et λαχο del. R¹) R ‖ **1171** -τυρο- Blaydes : -παραο- R Ald. ‖ **1172** -κιχλ- Le Febvre : κινκλ- R Ald. ‖ -κοσσυφοφαττο- Dindorf (1826) . -κοσσυκοφάττο- R -κοσσυφο- Ald. ‖ **1173** -οπτο- Meineke : -οπτεγ- R -οπτε- Ald. ‖ -κεφαλιο- Coulon : -κεφαλλιο- R Ald. ‖ **1174-1175** -τραγαλο- Blaydes : -τραγανο- RAld. Σ^R ‖ **1175** -πτερυγών Schneider : -πτερυγων R -πτερύγων Ald. ‖ **1176** ταχέως Meineke : ταχὺ καὶ RAld. ‖ **1177** κόνισαι λαβὼν R : λαβὼν κόνισαι Ald. ‖ **1179** Βλ. Blaydes : Ἡμιχ. R Ald. ‖ **1180** Χο. Kuster : om. R Ald. ‖ ἰαὶ Ald. S : ἰ αι (εὐ inter ι et αι del. R¹) R ‖ ἰαί Dindorf (1837) et Bergk : εύαι R εύαί S εὖ αἶ Ald. ‖ **1181** εὐαῖ Dindorf (1826) : εὐαὶ RS εὖ αἶ Ald. ‖ **1182** εὐαῖ Dindorf (1826) : εύαι R εὐαί Ald. S ‖ **1183** εὐοῖ bis Meineke et Dindorf (1869) : εύαι bis R εὐαὶ bis S εὖ αἶ bis Ald. ‖ εὐαῖ εὐαῖ Dindorf (1826) : εύαι εὐαί R εὖ αἶ εὖ αἶ Ald. εὐά S.

PLOUTOS

SIGLA

R = Ravennas 137, 4 A. . . . . saec. X.
V = Venetus inter Marcianos 474 . . . . saec. XI.
A = Parisinus inter Regios 2712. . . . . saec. XIII.
M = Ambrosianus L 39. . . . . saec. XIV.
U = Vaticanus Urbinas 141 . . . . saec. XIV.
Φ = AMU
Ald. = editio princeps Aldina . . . . a. MIID.
S (vel S^A, S^V...) = Suidae lectiones codicum AVSMG, de quibus quae sciri opus sunt in praefatione voluminis primi, p. XIX, n. 2, breviter exposui.
$S^{rel.}$ = Suidae lectiones ab unius alteriusve quinque codicum lectionibus discrepantes.
Σ = scholia.
$Σ^1$ = prius scholion.
$Σ^2$ = alterum scholion.
$Σ^λ$ = lemma scholii.
v. l. (Σ) = varia lectio (scholii).
par. = paragraphus (—) aut punctum duplex (:) personarum vices significans.
Π = fragmenta saeculi V. ex *Plut.* 1-19, 22-25, 32-56, ed. B. Grenfell and A. Hunt. *The Oxyrhynchus Papyri* 13, 1919, 165-168.

NOTICE

Ploutos fut représenté quatre ans après l'*Assemblée des Femmes*, en 388, sous l'archontat d'Antipatros — nous ne savons si ce fut aux Lénéennes ou aux grandes Dionysies. Aristophane eut en cette circonstance quatre concurrents : Nicocharès avec ses *Laconiens*, Aristomène avec *Admète*, Nicophon avec *Adonis*, Alcée avec *Pasiphaé*[1] Nous ignorons le rang obtenu par sa pièce.

Ploutos fut la dernière comédie donnée par notre poète sous son nom ; c'est sous le nom de son fils Araros que furent représentées deux pièces suivantes : *Cocalos* et *Éolosicon*[2].

Les circonstances politiques et sociales n'avaient guère changé depuis l'*Assemblée des Femmes*. Aussi les deux comédies ont entre elles de grandes ressemblances. A l'extérieur, la guerre de 395 durait toujours, ruineuse pour le trésor, paralysant le commerce par le manque de débouchés. Les politiciens et les gens d'affaires accaparaient toute la richesse, et à côté d'eux, les arrivistes, les intrigants et les sycophantes. Il semblait qu'il devenait de plus en plus difficile de vivre d'une vie honnête et laborieuse à la campagne; le pouvoir et l'argent allaient aux mains des audacieux sans scrupule qui flattaient le peuple pour le tromper et les personnages influents, politiciens et hommes d'argent, pour se pousser en avant. On sait qu'Aristophane a toujours eu une prédilection pour les habitants des campagnes, c'est en pensant à leur vie dure, c'est pour eux principalement qu'il a composé *Ploutos*.

[1] Cf. Argument III.
[2] *Ibid.*

Le campagnard Chrémyle, sur ses vieux jours, se demande avec inquiétude ce qu'il doit faire de son fils : le destinera-t-il à suivre l'exemple paternel, à vivoter aux champs en peinant dur et en restant honnête, ou à devenir un vaurien pour se faire une existence riche et facile à la ville? Accompagné de son esclave Carion, il va consulter l'oracle : le dieu, pour toute réponse, lui dit de suivre le premier homme qu'il rencontrera et de l'amener chez lui. En sortant, Chrémyle et Carion se trouvent en présence d'un aveugle; ils le suivent, lui demandent qui il est. Le personnage d'abord ne répond rien, mais sous le coup de la menace, finit par leur dire qu'il est *Ploutos*, le dieu de la richesse. Il leur raconte qu'il a été rendu aveugle par Zeus pour avoir favorisé les hommes justes dont ce dieu est jaloux. Chrémyle lui promet de lui rendre la vue s'il veut descendre chez lui, et lui assure qu'ainsi il pourra faire le bonheur de tous les braves et honnêtes gens en les favorisant. Les campagnards invités par lui pour apprendre la bonne nouvelle, arrivent d'abord sceptiques, puis se livrent à des transports de joie. Ce sont eux qui forment le Chœur, lequel d'ailleurs n'aura d'autre rôle que de danser pendant les intermèdes. Un voisin, Blepsidème, informé par la rumeur publique, se présente d'abord défiant, mais bientôt persuadé, il se joint à Chrémyle pour emmener Ploutos dans le temple d'Asclépios afin d'obtenir sa guérison.

Mais soudain devant eux se dresse Pauvreté, effrayante et furieuse de ce qu'on veuille la chasser de l'Hellade. Elle leur montre quel mal ce serait si tout le monde était riche : c'est elle, Pauvreté, qui est la vraie bienfaitrice des hommes; en imposant à tous la nécessité de travailler, elle stimule les énergies, procure l'aisance et le bonheur, par des moyens honnêtes, tandis que la richesse dans l'oisiveté, ne peut qu'amollir les esprits et les corps. Elle prédit que si on chasse Pauvreté, on ne tardera pas à la rappeler.

Rien n'y fait. Pauvreté est expulsée. Ploutos, conduit

au temple d'Asclépios, est guéri de sa cécité. Dès lors il enrichit Chrémyle, les voisins, tout le monde. Dans la suite le poète nous montre quelques conséquences du nouvel état des choses.

Un juste, maintenant riche grâce au dieu, vient le remercier.

Un sycophante se présente ensuite, furieux et tempêtant : il se déclare lésé par Ploutos, comme si l'argent donné par le dieu aux autres était volé à lui-même[1]. Moqué par Chrémyle, confondu par le Juste, dépouillé au profit de ce dernier et battu par Carion, il s'enfuit en criant, lui, le « bon patriote », que Ploutos veut renverser la démocratie[2].

Une vieille vient se plaindre à son tour d'être aussi lésée : aimée jusque-là par un jeune homme dont elle payait les complaisances, elle est maintenant négligée par lui, depuis qu'il a été enrichi par Ploutos. Justement arrive le Jeune Homme avec une couronne que par reconnaissance il veut consacrer au dieu : bien que raillée et humiliée par son amant, la Vieille se raccroche à son bras et sort avec lui. Sur ces entrefaites, Hermès vient avertir Chrémyle de la colère de Zeus, qui en veut à tous les nouveaux enrichis de ce qu'ils n'offrent plus de sacrifices aux dieux maintenant qu'ils n'ont plus besoin de rien. Lui-même, abandonné aussi par ses anciens invocateurs, s'accommoderait fort, pour gagner sa vie, d'une petite place chez Chrémyle. Carion l'envoie à la cuisine, comme aide-cuisinier.

Enfin le prêtre de Zeus, pour ne pas mourir de faim, n'ayant plus à sacrifier, demande à devenir ministre de Ploutos, le vrai « Zeus sauveur ».

Pour terminer la pièce, Chrémyle et tous les personnages, y compris la Vieille toujours en quête de son jeune

[1] V. 870.
[2] V. 949.

ami, avec le Chœur chantant, se rendent en cortège à l'Acropole pour y installer Ploutos comme gardien à jamais de l'opisthodome de la déesse.

Ploutos, comme on le voit, est une pure fantaisie, de même et plus encore que l'*Assemblée des Femmes*. L'auteur n'y expose aucune thèse, et le rôle du Chœur y est encore amoindri. La composition même de cette comédie a soulevé bien des critiques, à notre sens fort exagérées. Pauvreté, dit-on, n'intervient qu'à titre épisodique, et l'auteur semble peu d'accord avec lui-même quand il lui fait dire qu'on la regrettera, alors que dans la suite non seulement il n'est plus question d'elle, mais encore tout tourne à l'avantage de Ploutos et au bonheur de ceux que ce dieu a favorisés. D'où un premier reproche d'incohérence. Parmi les conséquences de l'action principale, à savoir l'enrichissement des citoyens, on ne voit pas, dit-on encore, de quoi le Sycophante a lieu de se plaindre, ni pourquoi le jeune ami de la Vieille a été enrichi : de là un second reproche, le manque de netteté. Et une fois sur la pente du dénigrement, on a trouvé la pièce froide, l'invention invraisemblable, les mots d'esprit assez vulgaires, le style prosaïque par endroits. De là à dire qu'Aristophane s'y montre inférieur à lui-même, comme imagination, comme plan, comme expression, il n'y a qu'un pas. Mais cette prétendue infériorité, personne ne l'a expliquée. Il nous semble que la prévention est pour beaucoup dans ce jugement sévère; il a suffi que *Ploutos* soit la dernière pièce d'Aristophane, et que sa composition, différente de ses autres comédies, déconcerte un peu l'idée que nous nous sommes faite de la comédie d'après les ouvrages antérieurs, pour que l'on criât à la déchéance du genre et du poète.

Raisonnons pourtant, et, au lieu de vouloir accommoder cette pièce à nos préjugés, à nos habitudes, à notre goût, essayons de sonder l'idée de l'auteur et le goût de ses contemporains. Qu'a voulu faire Aristophane? Evidem-

ment, une pièce qui plût aux spectateurs, et les amusant, valût au poète les suffrages des juges préposés au concours. Tout ce qu'il y a mis tend à ce but : le sujet, le choix des personnages, les situations, l'expression. Le sujet était d'actualité, comme on a vu. Une certaine catégorie de citoyens particulièrement chère à Aristophane, les campagnards, cultivateurs et laboureurs, honnêtes travailleurs, étaient les plus mal partagés au point de vue de la richesse, par suite de la guerre qui les avait presque ruinés et des perturbations qu'elle avait causées dans l'ordre social, tandis que d'autres, audacieux sans morale ni scrupules, accaparaient tout, pouvoir, influence, argent. C'est pour ces braves et intéressants Athéniens qu'Aristophane a fait sa comédie, d'abord pour les recommander à la sympathie publique, ensuite pour leur donner ne fût-ce que pendant une heure, au théâtre du moins, l'illusion bienfaisante d'une sorte de réparation du sort, grâce à un miracle d'autant plus charmant qu'il était plus invraisemblable : *Ploutos* est un conte de fées transporté sur la scène et où les personnages sont réels et connus en tant que types par les spectateurs. Vue sous cet angle, la pièce, toute de fantaisie et de gaieté, se déroule de la manière la plus logique et la plus normale. M. Maurice Croiset l'a dit en termes excellents[1] : « Pour remédier à ce mal (l'injuste distribution de la richesse, telle qu'il la voyait se produire autour de lui), tout ce qu'il peut offrir à ces concitoyens, c'est un rêve, comme il l'avait déjà fait quatre ans plus tôt, un rêve vengeur en quelque sorte, qui procure aux honnêtes gens la satisfaction de voir, en imagination et pendant la durée du spectacle, les coquins bafoués », nous ajoutons : les intrigants réduits à l'impuissance, et eux-mêmes en possession d'une richesse qu'ils ont si bien méritée par leur vie probe et laborieuse, après les épreuves d'une guerre longue et désastreuse. Et c'est

[1] *Aristophane et les partis à Athènes*, p. 300.

pourquoi jusqu'au bout de la comédie les effets de Ploutos sont bienfaisants, malgré les prédictions de Pauvreté. L'introduction momentanée de ce dernier personnage dont il n'est plus parlé ensuite s'explique par des raisons analogues : au point de vue littéraire, elle représente le débat traditionnel et obligatoire dans toute comédie ; elle est justifiée aussi par une double raison morale : elle évoque l'honneur et la dignité de cette population des campagnes dans les veines de qui coule le meilleur sang attique; elle console d'avance ces braves gens de leur impossible rêve par le sentiment de la noblesse de leur vie et les engage à conserver leurs principes et leurs mœurs : nous avons la conviction que Chrémyle, même pauvre, continuerait d'élever son fils comme il avait fait jusqu'ici. Quant aux conséquences de l'acte de Ploutos, elles ne sont pas moins logiquement conçues. La nouvelle et heureuse condition de l'homme juste appelait comme pendant le désespoir et la rage du sycophante, type honni par excellence. Ce qui cause la fureur de ce dernier, c'est que, tous étant devenus riches, ainsi qu'il est dit formellement au vers 1178 (ὅτι πάντες εἰσὶ πλούσιοι), il ne pourra plus bâtir sa fortune personnelle sur l'intrigue, les procès, l'intimidation, autant dire qu'il est perdu[1], pour le plus grand bonheur de la société. Il dépend du jeune homme pauvre, qui vivait des libéralités de la Vieille, de s'affranchir de sa honteuse dépendance, maintenant qu'il participe comme tout le monde aux bienfaits de Ploutos. La méprisable Vieille est traitée comme chacun le souhaite ; ce n'est pas sans raison que le poète fait revenir, pour la plus grande hilarité des spectateurs, cette ignoble femme, dans le cortège final, où seule elle est ridicule !

Ainsi tout se tient, tout est intéressant et bien amené dans cette comédie, dont la contexture est aussi nette que claire. On ne peut pas dire non plus que l'esprit y fasse

[1] Vers 850.

défaut, ou que le style y soit vulgaire. Ce qui est vrai, c'est que tout est approprié à la simplicité du sujet lui-même; mais ni l'invention, ni la conduite de l'action, ni l'à-propos des réparties, ni la finesse comme l'esprit de mots ne laissent à désirer. L'ouvrage est agréable, écrit dans le genre modéré; l'intérêt est soutenu et va croissant jusqu'à la fin; s'il n'excite pas le gros rire inextinguible dont parle Homère, il suscite d'un bout à l'autre un sourire de bon ton.

Cette modération dans l'ensemble tient à ce que le sujet n'est qu'une allégorie, les personnages des entités, comme dans nos fabliaux du Moyen-Age, pourtant si intéressants. Il est certain qu'au commencement du ɪvᵉ siècle les éléments fondamentaux de la Comédie Ancienne, les luttes violentes des partis représentés par des chefs de grande envergure, l'enthousiasme du public pour ou contre telle politique, telle idée philosophique, n'existaient plus ou avaient bien diminué par le fait d'une guerre malheureuse et des fautes commises à l'intérieur. Le patriotisme généreux avait fait place à un âpre individualisme. Les citoyens que ne soutenaient plus de hautes idées morales et nationales, vivaient chacun pour soi. Rien ne comptait plus que la richesse et les satisfactions qu'elle est censée donner. Le théâtre évoluait des sujets réels et vécus aux sujets artificiels suggérés par l'imagination. Le chœur, le personnage principal dans la Comédie Ancienne, d'actif était devenu conventionnel; les chorèges, citoyens chargés de fournir les chœurs, se montrèrent de moins en moins généreux. Si bien que, ici comme dans l'*Assemblée des Femmes*, les intermèdes de danse remplacent les chants lyriques de naguère. *Ploutos* appartient à la Comédie dite Moyenne; celle-ci devait se transformer bientôt dans l'étude des caractères généraux fondée sur des aventures romanesques, qu'est la Comédie Nouvelle.

Suivant une scholie au vers 173 un premier *Ploutos* d'Aristophane aurait été représenté vingt ans auparavant,

en 408, sous l'archontat de Dioclès. Huit fragments ou plutôt huit mots, cités comme appartenant au *Ploutos* (tout court) d'Aristophane par des grammairiens ou par Pollux, et une fin de phrase en iambes par le scholiaste au vers 1093 des *Grenouilles*, et qu'on ne lit pas tels quels dans la pièce qui nous est parvenue, ont été par la suite attribués à ce premier *Ploutos*. Faut-il en conclure que ce premier *Ploutos* a vraiment existé ? Van Leeuwen, dans les Prolégomènes de son édition de notre comédie, a tenté, avec beaucoup d'ingéniosité, de montrer que les huit fragments auraient été, pour diverses raisons, faussement attribués à un autre *Ploutos* d'Aristophane ; ces mots, mal lus ou mal interprétés, peuvent selon lui, sous leur forme rectifiée, se reconnaître dans notre texte. Quant au bout de phrase en iambes formellement donné par le scholiaste du vers 1093 des *Grenouilles* comme appartenant au premier *Ploutos* (ἐν Πλούτῳ πρώτῳ), et qui ne se lit nulle part, ni dans Aristophane ni ailleurs, l'éminent éditeur croit qu'il a pu faire partie d'un *Ploutos* quelconque, de celui de Nicostratos, par exemple, ou des Πλοῦτοι de Cratinos ou encore des Πλούσιοι de Nicostratos et d'Anaxilas ; et il déclare qu'il serait exagéré de bâtir sur cette simple citation introuvable l'hypothèse d'un *Ploutos* d'Aristophane antérieur à celui que nous possédons. Celui-ci ajoute-t-il, par sa teneur, son esprit et sa forme, est tout à fait différent des comédies composées par notre poète vingt ans auparavant, et il est invraisemblable qu'Aristophane ait donné à deux de ses comédies exactement le même titre. Cependant les témoignages des scholies du vers 173 du *Ploutos* du vers 1093 des *Grenouilles* relatifs au « premier » et au « second » *Ploutos* sont fort nets et ne peuvent être récusés d'emblée. Il est douteux aussi que les divers grammairiens qui ont rapporté les citations ci-dessous se soient tous trompés. En l'état actuel des faits, il serait téméraire d'affirmer comme de nier *a priori* l'existence d'un premier *Ploutos* d'Aristophane. La question d'ailleurs,

vu les fragments qui nous sont parvenus de cette pièce insignifiants par leur longueur et par leur nombre, ne présente qu'un intérêt secondaire et peut sans dommage être réservée.

H. V. D.

ΥΠΟΘΕΣΕΙΣ

I

Πρεσβύτης τις Χρεμύλος πένης ὢν τὴν οὐσίαν ἀφικνεῖται εἰς θεοῦ· ἐρωτᾷ δὲ τὸν θεὸν πῶς ἂν εἰς ἔκδηλον ἁβρόν τε μεταστταίη βίον. Τοιόνδε δὲ ἐγγεγύηται ὁ χρησμός. Χρᾷ γὰρ αὐτῷ ὁ θεὸς ἐξιόντι τοῦ ναοῦ, τούτῳ ἕπεσθαι, ᾧ πρώτῳ συντύχῃ. Καὶ δὴ τυφλῷ γέροντι συντυχὼν εἵπετο πληρῶν τὸν χρησμόν· ἦν δὲ Πλοῦτος οὗτος. Ὕστερον δὲ προσδιαλεχθεὶς αὐτῷ εἰσάγει εἰς Ἀσκληπιοῦ, ἰασόμενος αὐτὸν τῆς πηρώσεως, καὶ οὕτω πλούσιος γίνεται. Ἐφ' ᾧ δυσχεράνασα ἡ Πενία παραγίνεται λοιδορουμένη τοῖς τοῦτο κατορθώσασι· πρὸς ἣν καὶ διάλογος οὐκ ἀφυὴς γίνεται, συγκρινομένων τῶν φαύλων τῆς Πενίας καὶ τῶν τοῦ Πλούτου ἀγαθῶν ὑπὸ Βλεψιδήμου καὶ Χρεμύλου. Πολλῶν δὲ καὶ ἄλλων ἐπεισρεόντων ἐν τῷ ὀπισθοδόμῳ τῆς Ἀθηνᾶς ἀφιερώσαντο Πλούτου ἴνδαλμα. Τὰ μὲν οὖν τῆς ὑποθέσεως ταῦτα. Προλογίζει δὲ θεράπων δυσχεραίνων πρὸς τὸν δεσπότην, ὅτι τυφλῷ [καὶ] γέροντι κατακολουθεῖν οὐκ ᾐσχύνετο.

II

Πρεσβύτης τις Χρεμύλος πένης ὢν καὶ ἔχων υἱόν, κατανοήσας ὡς οἱ φαῦλοι τὸ τηνικαῦτα εὖ πράττουσιν, οἱ δὲ χρηστοὶ ἀτυχοῦσιν, ἀφικνεῖται εἰς θεοῦ, χρησόμενος πότε-

Ὑπόθεσις I deest in RAU || 2 ἐρωτᾷ V : ἐπερωτᾷ M Ald. || 3 τοιόνδε δὲ Ald. : τοιόνδε V καὶ τοιόνδε M || ἐγγεγύηται VM² Ald. : ἐγγυᾶται M¹ || 5 -τύχῃ V Ald. : -τύχοι M || γέροντι VM : καὶ γέροντι Ald. || 12 δὲ Kuster : τε VM Ald. || καὶ V : om. M Ald. || ἐπεισρεόντων ἐν M Ald. : om. V || 14 ἴνδαλμα van Leeuwen : ἰνδάλματα VM Ald. || ταῦτα V : τοιαῦτα M Ald. || 15 θεράπων V Ald. : θεράπων Καρίων οἰκεῖος M || [καὶ] Coulon : καὶ VM Ald.

Ὑπόθεσις II deest in RA || 1 Πρεσβύτης τις Χρεμύλος πένης ὢν Ald. : Πρεσβύτης Χρεμύλος (-ῦ- V) πένης ὢν VM Χρεμύλος τις ὢν πρεσβύτης πένης U || 2 φαῦλοι V Ald. : φαῦλοι μὲν (μὲν om. U) τῶν ἀνθρώπων MU.

ρον τὸν παῖδα σωφρόνως ἀναθρέψει καὶ ὅμοιον ἑαυτῷ τοὺς τρόπους διδάξει — ἦν γὰρ οὗτος χρηστός — ἢ φαῦλον, ὡς τῶν φαύλων τότε εὐπραγούντων. Ἐλθὼν οὖν εἰς τὸ μαντεῖον, περὶ μὲν ὧν ἤρετο οὐδὲν ἤκουσεν, προστάττει δὲ αὐτῷ, ᾧτινι πρῶτον ἐξιὼν συντύχῃ, ἀκολουθεῖν. Καὶ τὰ λοιπὰ ὡσαύτως.

III

Ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ. Τελευταίαν δὲ διδάξας τὴν κωμῳδίαν ταύτην ἐπὶ τῷ ἰδίῳ ὀνόματι, [καὶ] τὸν υἱὸν αὐτοῦ συστῆσαι Ἀραρότα δι' αὐτῶν τοῖς θεαταῖς βουλόμενος τὰ ὑπόλοιπα δύο δι' ἐκείνου καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα.

IV

Μαντεύεται δίκαιος ὤν τις καὶ πένης
εἰ μεταβαλὼν πλούτου τυχεῖν δυνήσεται.
Ἔχρησεν ὁ θεὸς συνακολουθεῖν ᾧπερ ἂν
πρώτῳ περιτύχοι. Πλοῦτος ὀπτάνεται τυφλός.
Γνοὺς δ' αὐτὸν ἤγαγ' οἴκαδ', ἄλλους δημότας

4 -θρέψει V : -θρέψειε MUAld. ‖ τοὺς τρόπους UAld. : τοῖς τρόποις VM ‖ 5 διδάξει Blaydes : διδάξειεν VMUAld. ‖ φαῦλον U Ald. : φαῦλος VM ‖ 6 εὐπραγούντων VAld. : εὐπραττόντων U μᾶλλον εὐπραγούντων M ‖ 8-9 ᾧτινι — ὡσαύτως om. et in eorum loco ἐν τῷ ἐξιέναι, ὃν ἂν καθέξει πρῶτον, κατασχεῖν· ὀπτάνεται γοῦν αὐτῷ Πλοῦτος τυφλὸς καὶ ἀκολουθεῖ τούτῳ καὶ τὰ λοιπὰ exhib. U ‖ 8 -τύχῃ V Ald. : -τύχοι M ‖ ὡσαύτως V Ald. : κατὰ τὰ πρῶτα M.

Ὑπόθεσις III deest in RAU ‖ 3 Ἀλκαίου MAld. : Ἀλκαίων V ‖ 4 διδάξας M Ald. : διδάξαι V ‖ 5 [καὶ] Porson : καὶ VM Ald. ‖ αὐτοῦ Kuster : αὐτοῦ VM Ald. ‖ δι' αὐτῶν Peppmüller : δι' αὐτῆς VM Ald. [δι' αὐτῆς] Porson ‖ 7 καὶ Αἰολοσίκωνα M Ald. : om. V.

Ὑπόθεσις IV deest in RAU. Versus in VM non sunt distincti. Ἀριστοφάνους ὑπόθεσις Πλούτου superscr. V ; cf. ad argum. metr. Ach. ‖ 2 μεταβαλὼν V Ald. : μεταβαλὼν τοὺς τρόπους M ‖ 3 ἔχρησεν V Ald. : ἔχρησεν οὖν M ‖ 4 πρώτῳ Wagner : ἀνδρὶ VMAld. ‖ -τύχοι VM : -τύχῃ Ald. ‖ Πλοῦτος Hemsterhuis : Πλοῦτος δ' VM Ald. ‖ ὀπτάνεται Ald. : ὀπτανεῖται V ὀπτάνεται αὐτῷ M ‖ 5 ἤγαγ' (-γεν Ald.) οἴκαδ' V Ald. : ἤγαγε. καὶ M.

καλέσας μετασχεῖν. Εἶθ' ὑγιάσαι τὰς κόρας
ἔσπευδον· εἰς 'Ασκληπιοῦ δ' ἀπήγαγον.
Ἡ δ' ἀναφανεῖσ' ἄφνω Πενία διεκώλυεν.
Ὅμως ⟨δ'⟩ ἀναβλέψαντος αὐτοῦ τῶν κακῶν
οὐδεὶς ἐπλούτει, τῶν δ' ἀγαθῶν ἦν τἀγαθά.

6 εἶθ' V Ald. : om. M || ὑγιάσαι V Ald. : ὑγιῶσαι M || 7 εἰς 'Ασκληπιοῦ δ' V Ald. : καὶ εἰς 'Ασκληπιοῦ M || ἀπήγαγον M : ἀπῆγον V Ald. || 8 ἡ δ' ἀναφανεῖσ' ἄφνω Πενία Dindorf : ἡ δ' ἄφνω Πενία VAld. ἡ δὲ Πενία ἄφνω φανεῖσα M || διεκώλυεν Bothe : διεκώλυσ' V διεκώλυσεν M Ald. || 9 ⟨δ'⟩ van Leeuwen : om. VM Ald. || 10 τῶν — τἀγαθά om. M.

PERSONNAGES

Carion
Chrémyle
Ploutos
Chœur de Campagnards
Blepsidème
Pauvreté
La Femme de Chrémyle
Un Juste
Un Sycophante
Une Vieille
Un Jeune Homme
Hermès
Le Prêtre de Zeus

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ[1]

ΚΑΡΙΩΝ
ΧΡΕΜΥΛΟΣ
ΠΛΟΥΤΟΣ
ΧΟΡΟΣ ΑΓΡΟΙΚΩΝ
ΒΛΕΨΙΔΗΜΟΣ
ΠΕΝΙΑ
ΓΥΝΗ ΧΡΕΜΥΛΟΥ
ΔΙΚΑΙΟΣ ΑΝΗΡ[2]
ΣΥΚΟΦΑΝΤΗΣ[3]
ΓΡΑΥΣ
ΝΕΑΝΙΑΣ[4]
ΕΡΜΗΣ
ΙΕΡΕΥΣ ΔΙΟΣ

1 Index personarum deest in RA. || 2 Ἀνήρ post Δίκαιος Ald. : om. M ante Δίκαιος VU || 3 Συκοφάντης (praemisso Ἀνήρ) V : Ἄδικος M Ἕτερος ἀνὴρ συκοφάντης U Ἕτερος ἀνὴρ ἄδικος· Συκοφάντης Ald.; cf. ad 864 et 886 || 4 Νεανίας VU : Νεώτερος M Νέος Ald.

PLOUTOS

L'Orchestra représente une place publique; au fond la maison de Chrémyle. Par la parodos gauche, venant de l'étranger, entre un vieillard aveugle, aux vêtements sordides (v. 84), qui marche à tâtons et en trébuchant (v. 121). Il est suivi de Chrémyle et de son esclave Carion, tous deux revenus de voyage et couronnés de lauriers (v. 21); Carion porte en outre une petite marmite (v. 226).

Carion. — Quelle pénible chose c'est, ô Zeus et tous les dieux, de devenir esclave d'un maître hors de son bon sens! Se trouve-t-il que le serviteur ait donné les meilleurs conseils, et qu'il ait plu à son possesseur de ne pas les suivre, fatalement le serviteur aura sa part des maux. De sa propre personne le destin ne souffre pas qu'il dispose souverainement; elle est à qui l'a acheté. Enfin les choses sont ainsi; mais ce Loxias,

Qui du haut d'un trépied d'or ouvré vaticine [1],

je lui fais ce juste reproche que, étant médecin et devin, à ce qu'on dit, habile, il a renvoyé mon maître détraqué. Le voilà qui marche derrière un homme aveugle, faisant le contraire de ce qu'il conviendrait de faire. Car c'est nous, les voyants, qui guidons les aveugles; lui, les suit et me contraint, moi, d'en faire autant, et cela sans rien me répondre, pas le moindre mot! (*A Chrémyle.*) Eh bien, moi, pas moyen que je me taise, si tu ne m'expliques enfin pourquoi nous suivons cet homme, ô maître; mais je te causerai

[1] Vers de style tragique — sinon emprunté à une tragédie — comme le vers 39.

ΠΛΟΥΤΟΣ

ΚΑΡΙΩΝ

Ὡς ἀργαλέον πρᾶγμ' ἐστίν, ὦ Ζεῦ καὶ θεοί,
δοῦλον γενέσθαι παραφρονοῦντος δεσπότου.
Ἢν γὰρ τὰ βέλτισθ' ὁ θεράπων λέξας τύχῃ,
δόξῃ δὲ μὴ δρᾶν ταῦτα τῷ κεκτημένῳ,
μετέχειν ἀνάγκη τὸν θεράποντα τῶν κακῶν.
Τοῦ σώματος γὰρ οὐκ ἐᾷ τὸν κύριον
κρατεῖν ὁ δαίμων, ἀλλὰ τὸν ἐωνημένον.
Καὶ ταῦτα μὲν δὴ ταῦτα· τῷ δὲ Λοξίᾳ,
ὃς θεσπιῳδεῖ τρίποδος ἐκ χρυσηλάτου,
μέμψιν δικαίαν μέμφομαι ταύτην, ὅτι
ἰατρὸς ὢν καὶ μάντις, ὥς φασιν, σοφὸς
μελαγχολῶντ' ἀπέπεμψέ μου τὸν δεσπότην,
ὅστις ἀκολουθεῖ κατόπιν ἀνθρώπου τυφλοῦ,
τοὐναντίον δρῶν ἢ προσῆκ' αὐτῷ ποεῖν.
Οἱ γὰρ βλέποντες τοῖς τυφλοῖς ἡγούμεθα,
οὗτος δ' ἀκολουθεῖ, κἀμὲ προσβιάζεται,
καὶ ταῦτ' ἀποκρινόμενος τὸ παράπαν οὐδὲ γρῦ.
Ἐγὼ μὲν οὖν οὐκ ἔσθ' ὅπως σιγήσομαι,
ἢν μὴ φράσῃς ὅ τι τῷδ' ἀκολουθοῦμέν ποτε,
ὦ δέσποτ', ἀλλά σοι παρέξω πράγματα.
Οὐ γάρ με τυπτήσεις στέφανον ἔχοντά γε.

ΧΡΕΜΥΛΟΣ

Μὰ Δί' ἀλλ' ἀφελὼν τὸν στέφανον, ἢν λυπῇς τί με,

1-19, 22-25, 32-56 exstant in Π ‖ 4 ταῦτα RVΣ^Ald. : ταὐτά ΦΠ v. l. Σ^Ald. ‖ 11 φασιν ΦΠ : φασὶ RV ‖ 12 -έπεμψέ RVΦ : -έπεμψεν Π ‖ 17 -κρινόμενος Bentley : -κρινομένῳ R -κρινομένου VΦSIIΣ^V ‖ 22 ἀφελὼν VΦΠ : ἀφελών γε R.

des désagréments; aussi bien tu ne me battras pas : je porte une couronne[1].

Chrémyle. — Non, par Zeus ! mais je t'ôterai ta couronne, pour peu que tu m'ennuies, et il t'en cuira d'autant plus.

Carion. — Chansons ! Je ne cesserai pas, que tu ne m'aies dit qui peut bien être cet homme. C'est parce que je te veux du bien que je te le demande, le plus grand bien.

Chrémyle. — Eh bien, je ne te le cacherai pas, car de nos serviteurs je te tiens pour le plus fidèle et... le plus voleur. Moi, quoique religieux et homme juste, je ne réussissais pas et j'étais pauvre.

Carion. — Je le sais, ma foi.

Chrémyle. — D'autres étaient riches, des sacrilèges, des orateurs, des sycophantes, des gueux.

Carion. — Je te crois.

Chrémyle. — J'allai donc consulter le dieu, non pour moi malheureux, qui estime presque épuisé désormais le carquois de ma vie, mais pour mon fils, le seul que je me trouve avoir, afin de savoir s'il devait, changeant sa conduite, être coquin, injuste, rien qui vaille, car cela seul, à mon sens, profite à la vie.

Carion. — (*Avec une gravité ironique.*)

Qu'a prononcé Phoibos, du fond de ses guirlandes ?

Chrémyle. — Tu le sauras. En termes clairs le dieu m'a dit ceci : le premier que je rencontrerais en sortant, il m'a ordonné de ne plus le lâcher et de l'engager à m'accompagner chez moi.

Carion. — Et qui donc as-tu rencontré le premier ?

Chrémyle. — (*Montrant l'aveugle.*) Celui-là.

Carion. — Quoi ! Ne comprends-tu pas la pensée du dieu, laquelle te dit, ignorantissime, le plus clairement du monde d'élever ton fils selon la manière du pays ?

[1] Ceux qui avaient consulté l'oracle de Delphes gardaient leur couronne de laurier sur la tête jusqu'à ce qu'ils fussent rentrés chez eux. Tant qu'ils étaient couronnés, leur personne était comme sacrée, fussent-ils des esclaves.

ἵνα μᾶλλον ἀλγῇς.

ΚΑ. Λῆρος· οὐ γὰρ παύσομαι
πρὶν ἂν φράσῃς μοι τίς ποτ' ἐστὶν οὑτοσί.
Εὔνους γὰρ ὢν σοι πυνθάνομαι πάνυ σφόδρα.

ΧΡ. Ἀλλ' οὔ σε κρύψω· τῶν ἐμῶν γὰρ οἰκετῶν
πιστότατον ἡγοῦμαί σε καὶ κλεπτίστατον.
Ἐγὼ θεοσεβὴς καὶ δίκαιος ὢν ἀνὴρ
κακῶς ἔπραττον καὶ πένης ἦν.

ΚΑ. Οἶδά τοι.

ΧΡ. Ἕτεροι δ' ἐπλούτουν, ἱερόσυλοι, ῥήτορες
καὶ συκοφάνται καὶ πονηροί.

ΚΑ. Πείθομαι.

ΧΡ. Ἐπερησόμενος οὖν ᾠχόμην ὡς τὸν θεόν,
τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου σχεδὸν
ἤδη νομίζων ἐκτετοξεῦσθαι βίον,
τὸν δ' υἱόν, ὅσπερ ὢν μόνος μοι τυγχάνει,
πευσόμενος εἰ χρὴ μεταβαλόντα τοὺς τρόπους
εἶναι πανοῦργον, ἄδικον, ὑγιὲς μηδὲ ἕν,
ὡς τῷ βίῳ τοῦτ' αὐτὸ νομίσας ξυμφέρειν.

ΚΑ. « Τί δῆτα Φοῖβος ἔλακεν ἐκ τῶν στεμμάτων; »

ΧΡ. Πεύσει. Σαφῶς γὰρ ὁ θεὸς εἶπέ μοι ταδί·
ὅτῳ ξυναντήσαιμι πρῶτον ἐξιών,
ἐκέλευε τούτου μὴ μεθίεσθαί μ' ἔτι,
πείθειν δ' ἐμαυτῷ ξυνακολουθεῖν οἴκαδε.

ΚΑ. Καὶ τῷ ξυναντᾷς δῆτα πρώτῳ;

ΧΡ. Τουτῳί.

ΚΑ. Εἶτ' οὐ ξυνίῃς τὴν ἐπίνοιαν τοῦ θεοῦ
φράζουσαν, ὦ σκαιότατέ, σοι σαφέστατα

26 σε VΦ : τι R ‖ 32 ὡς VΦΠΣ[RV] : πρὸς R ‖ 33 τοῦ VΦΠ : om. R ‖ 38 αὐτὸ RΦΠ : αὑτῷ V ‖ ξυμ- Φ : συμ- RVΠ ‖ 39 δῆτα RV : δῆθ' ὁ Φ ‖ στεμμάτων RVΠ : θεσφάτων et σκεμμάτων v. l. ΣV[Ald.] ‖ 40 ταδί VΠ : τοδί RΦ ‖ 42 ἐκέλευε R : ἐκέλευσε VΦ ‖ 43 ξυν- RΦΠ : συν- V ‖ 45 ξυνίῃς ΦΣ[RV] : ξυνίεις RVSΠ ‖ 46 σοι VΦ : σοί R.

Chrémyle. — Qui te fait juger ainsi ?

Carion. — C'est que, même à un aveugle[1], il semble clair d'entendre qu'il est très profitable de ne s'appliquer à rien de bon dans le siècle où nous sommes[2].

Chrémyle. — Il n'est pas possible que l'oracle penche dans ce sens[3] ; il a une plus haute portée. Si cet homme nous disait qui il est, pour quelle raison, par quel besoin il est venu ici avec nous, nous pourrions connaître ce que signifie notre oracle.

Carion. — (*A l'aveugle.*) Allons, toi, oui ou non, veux-tu dire qui tu es ou (*Geste de menace.*) faut-il que j'agisse en conséquence ? Parle et sans tarder.

Ploutos. — Va te faire pendre, je te dis[4].

Carion. — Tu comprends qui il dit qu'il est[5] ?

Chrémyle. — C'est à toi qu'il parle ainsi, pas à moi : tu l'interroges maladroitement et avec rudesse. (*A Ploutos.*) Mais si tu prends quelque plaisir aux manières d'un homme loyal, réponds-moi.

Ploutos. — A la male heure ! te dis-je.

Carion. — (*A Chrémyle, avec ironie.*) Accepte l'homme et le présage du dieu.

Chrémyle. — (*A Ploutos.*) Ah ça, par Déméter, tu ne riras plus[6].

Carion. — (*Même geste.*) Car si tu ne parles pas, je te ferai périr, misérable, misérablement[7].

Ploutos. — Mon bon, laissez-moi tous deux.

[1] Pensée fréquemment exprimée par les auteurs grecs ; cf. Platon, *Sophiste*, 241 *d*, *République*, 465 *d*, etc.

[2] Vers parodié, semble-t-il, d'Euripide, fragm. 696 : οὐδὲν δίκαιον ἐστιν ἐν τῷ νῦν γένει, « il n'y a rien de juste dans le siècle où nous sommes ». Cf. Ménandre, fragm. 124.

[3] Même métaphore dans Sophocle, *Œdipe-Roi*, 847 ; *Antigone*, 722 ; dans Antiphane, fragm. 124.

[4] Littéralement : *je te dis de gémir*. Cf. v. 62, 612.

[5] Carion se tire par une plaisanterie de son insuccès.

[6] Voir une menace pareille *Cavaliers*, 235 ; *Nuées*, 814.

[7] Alliance de mots fréquente chez Aristophane ; cf. l'idée contraire καλὴ καλῶς, « gentille, gentiment », *Acharniens*, 253.

ἀσκεῖν τὸν υἱὸν τὸν ἐπιχώριον τρόπον;

ΧΡ. Τῷ τοῦτο κρίνεις;

ΚΑ. Δῆλον ὁτιὴ καὶ τυφλῷ
γνῶναι δοκεῖ τοῦθ', ὡς σφόδρ' ἐστὶ συμφέρον
τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν γένει.

ΧΡ. Οὐκ ἔσθ' ὅπως ὁ χρησμὸς εἰς τοῦτο ῥέπει,
ἀλλ' εἰς ἕτερόν τι μεῖζον. Ἢν δ' ἡμῖν φράσῃ
ὅστις ποτ' ἐστὶν οὑτοσὶ καὶ τοῦ χάριν
καὶ τοῦ δεόμενος ἦλθε μετὰ νῷν ἐνθαδί,
πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.

ΚΑ. Ἄγε δή, σὺ πότερον σαυτὸν ὅστις εἶ φράσεις,
ἢ τἀπὶ τούτοις δρῶ; Λέγειν χρὴ ταχὺ πάνυ.

ΠΛΟΥΤΟΣ

Ἐγὼ μὲν οἰμώζειν λέγω σοι.

ΚΑ. Μανθάνεις
ὅς φησιν εἶναι;

ΧΡ. Σοὶ λέγει τοῦτ', οὐκ ἐμοί·
σκαιῶς γὰρ αὐτοῦ καὶ χαλεπῶς ἐκπυνθάνει.
Ἀλλ' εἴ τι χαίρεις ἀνδρὸς εὐόρκου τρόποις,
ἐμοὶ φράσον.

ΠΛ. Κλάειν ἔγωγέ σοι λέγω.

ΚΑ. Δέχου τὸν ἄνδρα καὶ τὸν ὄρνιν τοῦ θεοῦ.

ΧΡ. Οὔ τοι μὰ τὴν Δήμητρα χαιρήσεις ἔτι.

ΚΑ. Εἰ μὴ φράσεις γάρ, ἀπό σ' ὀλῶ κακὸν κακῶς.

ΠΛ. Ὦ τᾶν, ἀπαλλάχθητον ἀπ' ἐμοῦ.

49 τοῦθ' RVΦ : ταῦθ' Π || συμ- RVMU : ξυμ- A || 50 γένει v. l. V mg. : βίῳ R ἔτει V γρ. γένει καὶ χρόνῳ Vmg. χρόνῳ ΦΠ || 51 τοῦτο RAMΠ : τουτὶ VU || 52 ἣν V^{2}Φ : Κα. (par. Π θερ. R) ἣν RV^{1}Π || 56 Κα. VΦ : Χρ. eras. R || σὺ πότερον R^1 : σὺ πρότερον R^{2}VMU πρότερον σὺ A || φράσεις R : φράσον VΦ || 57 λέγειν V : Χρ. λέγειν RΦ || ταχὺ πάνυ RΦ : πάνυ ταχύ V || 59 τοῦτ' οὐχ VΦ : τοῦτο χοὐχ R || 62 ἔγωγέ (-γε V) σοι RVAM : ἔγωγε σοὶ U || 64 Δήμητρα (ε supra ρ add. U^2) RU : Δήμητραν VAM || 65 Κα. Hemsterhuis : om. RVΦ || εἰ μὴ φράσεις (ex -ῃς corr R) RVU : ἢν (ex εἰ corr. A) μὴ φράσῃς AM.

Chrémyle. — Du tout.

Carion. — Or donc, ce que je dis est le mieux, ô maître. Je ferai périr le plus misérablement cet homme-là : je le placerai sur le bord d'un précipice, puis l'abandonnant je m'en irai, pour que de là il se rompe le cou en tombant[1].

Chrémyle. — Allons, enlève-le vite. (*Tous deux veulent saisir Ploutos.*)

Ploutos. — Ah ! non !

Chrémyle. — Ne parleras-tu pas ?

Ploutos. — Mais si vous apprenez qui je suis, j'en suis sûr, vous me ferez du mal et ne me laisserez point aller.

Chrémyle. — Si fait, par les dieux, pour peu que tu le veuilles, toi.

Ploutos. — Lâchez-moi donc d'abord. (*Ils le lâchent.*)

Chrémyle. — Voilà, nous te lâchons.

Ploutos. — Écoutez donc. Car il me faut bien, à ce que je vois, dire ce que j'étais disposé à tenir secret : je suis Ploutos.

Carion. — O le plus scélérat de tous les hommes[2] ! Tu es Ploutos et tu te taisais[3] !

Chrémyle. — Toi Ploutos, en si piteux état ? O Phoibos Apollon, ô dieux[4], ô démons, ô Zeus[5], que dis-tu ? Ploutos, réellement, c'est toi ?

Ploutos. — Oui.

Chrémyle. — Ploutos en personne ?

Ploutos. — En personne, tout ce qu'il y a de plus[6].

Chrémyle. — D'où viens-tu donc, dis-moi, si sale ?

[1] Cf. *Nuées*, 1501 : « C'est précisément ce que je veux, à moins que,.. je ne me rompe le cou en tombant ».

[2] Cf. *Grenouilles* 1472. Le mot « homme » appliqué à un dieu est une plaisanterie du défiant Carion. Cf. *Oiseaux*, 1638.

[3] Cf. *Nuées*, 860 ; *Cavaliers*, 391 ; *Lysistrata*, 176.

[4] Cf. v. 1.

[5] Chrémyle, dans son trouble, brouille l'ordre des divinités qu'il invoque.

[6] Cf. Plaute, *Trinummus*, IV 2, 145-6 : *Ipsus es ? — Ipsus, inquam, Charmides sum. — Ergo ipsusne's ? — Ipsissimus* = « tout ce qu'il y a de plus en personne ».

ΧΡ. Πώμαλα.
ΚΑ. Καὶ μὴν ὃ λέγω βέλτιστόν ἐστ', ὦ δέσποτα.
'Απολῶ τὸν ἄνθρωπον κάκιστα τουτονί.
'Αναθεὶς γὰρ ἐπὶ κρημνόν τιν' αὐτὸν καταλιπὼν
ἄπειμ', ἵν' ἐκεῖθεν ἐκτραχηλισθῇ πεσών.
ΧΡ. 'Αλλ' αἶρε ταχέως.
ΠΛ. Μηδαμῶς.
ΧΡ. Οὔκουν ἐρεῖς;
ΠΛ. 'Αλλ' ἢν πύθησθέ μ' ὅστις εἴμ', εὖ οἶδ' ὅτι
κακόν τί μ' ἐργάσεσθε κοὐκ ἀφήσετον.
ΧΡ. Νὴ τοὺς θεοὺς ἡμεῖς γ', ἐὰν βούλῃ γε σύ.
ΠΛ. Μέθεσθέ νύν μου πρῶτον.
ΧΡ. Ἤν, μεθίεμεν.
ΠΛ. 'Ακούετον δή· δεῖ γάρ, ὡς ἔοικέ, με
λέγειν ἃ κρύπτειν ἦν παρεσκευασμένος.
'Εγὼ γάρ εἰμι Πλοῦτος.
ΚΑ. Ὦ μιαρώτατε
ἀνδρῶν ἁπάντων, εἶτ' ἐσίγας Πλοῦτος ὤν;
ΧΡ. Σὺ Πλοῦτος, οὕτως ἀθλίως διακείμενος;
Ὦ Φοῖβ' Ἄπολλον καὶ θεοὶ καὶ δαίμονες
καὶ Ζεῦ, τί φῄς; ἐκεῖνος ὄντως εἶ σύ;
ΠΛ. Ναί.
ΧΡ. 'Εκεῖνος αὐτός;
ΠΛ. Αὐτότατος.
ΧΡ. Πόθεν οὖν, φράσον,

67 Κα. (Θερ. RU) RVU Σ^R1 : om. AM Πλ. Σ^R2 || βελτιστον VΦ : βέλτιον R || ἐστ(ιν) ὦ R[1] ; cf. ad Ran. 318 : ἐστὶ (-ιν R) R[2]VΦ || 70 ἵν' ἐκεῖθεν VΦ : ἐκεῖθεν ἵν' R || 71 Χρ.[1] RVMU : om. A || οὔκουν V[2]M : οὐκοῦν RV[1]AU || 72 πύθησθέ VΦ : πύθοισθέ R || εὖ VΦ : om. R add. R mg. || 73 ἐργάσεσθε RΦ : ἐργάσησθον (-σε- U) VU[2] || ἀφήσετον RVAMU[2] : ἀφήσετε U[1] || 75 μέθεσθέ νύν (U, -θε νῦν RM) μου RMU : μέθεσθέ μου τὸ A μέθετόν με νῦν V || ἦν VA[2] : ἦν RA[1] ἠνὶ (ι in ras. M) MU || 76 ἔοικέ με RA : ἔοιχ' ἐμὲ (οι superscr. U) VMU || 77 ἦν RVΦ : ἦ SΣ^Ald. Σ^V ad Vesp. 1074 v. l. Σ^V || 78 Κα. Bergk : Χρ. RVΦ || 80 Χρ. Bergk : om. U Κα. R eras. V Θερ. AM.

Ploutos. — Je sors de chez Patroclès[1], qui ne s'est pas lavé depuis l'heure où il est né.

Chrémyle. — (*Touchant ses paupières.*) Et ce malheur, comment t'est-il arrivé ? Raconte-moi.

Ploutos. — C'est Zeus qui m'a fait cela, par jalousie pour les hommes[2]. Encore tout jeune, je le menaçai de ne visiter que les justes, les sages, les gens honnêtes. Et lui me rendit aveugle, pour m'empêcher d'en discerner aucun. Tant ce dieu est jaloux des gens de bien.

Chrémyle. — Et pourtant c'est grâce aux seuls gens de bien qu'il est honoré, et grâce aux justes.

Ploutos. — J'en conviens.

Chrémyle. — Eh bien, dis : si tu voyais de nouveau comme autrefois, fuirais-tu désormais les coquins ?

Ploutos. — Je l'affirme.

Chrémyle. — Et c'est chez les justes que tu irais ?

Ploutos. — Absolument. Car il y a longtemps que je ne les ai vus.

Carion. — (*Aux Spectateurs.*) Rien d'étonnant; moi non plus, qui vois clair.

Ploutos. — Laissez-moi maintenant; car vous savez à présent ce que vous vouliez de moi.

Chrémyle. — Non, par Zeus; mais plus que jamais nous nous tiendrons à toi.

Ploutos. — Ne disais-je pas que vous alliez me causer des désagréments ?

Chrémyle. — Et de ton côté, je t'en conjure, laisse-toi persuader et ne me quitte pas. Tu ne trouveras plus, où que tu cherches, un homme de meilleur caractère que moi.

[1] Ce Patroclès était, suivant le Scholiaste, un poète tragique riche et d'une avarice sordide. « Plus avare que Patroclès » était passé en proverbe. De plus il était sale et ne se lavait pas. Serait-il le même que le Patroclès cité par Platon (*Euthydème*, 297 *c*) comme frère utérin de Socrate ? Aristophane faisait le même reproche de saleté à Socrate le « non lavé », *Nuées*, 836, *Oiseaux*, 1282.

[2] Sur cette jalousie des dieux cf. Pindare, *Isthmiques*, VI 39 ; Hérodote, I 32 ; III 40 ; VII 10. C'est à la jalousie de Zeus que le

αὐχμῶν βαδίζεις;
ΠΛ. Ἐκ Πατροκλέους ἔρχομαι,
ὃς οὐκ ἐλούσατ' ἐξ ὅτουπερ ἐγένετο.
ΧΡ. Τουτὶ δὲ τὸ κακὸν πῶς ἔπαθες; κάτειπέ μοι.
ΠΛ. Ὁ Ζεύς με ταῦτ' ἔδρασεν ἀνθρώποις φθονῶν.
Ἐγὼ γὰρ ὢν μειράκιον ἠπείλησ' ὅτι
ὡς τοὺς δικαίους καὶ σοφοὺς καὶ κοσμίους
μόνους βαδιοίμην· ὁ δέ μ' ἐποίησεν τυφλόν,
ἵνα μὴ διαγιγνώσκοιμι τούτων μηδένα.
Οὕτως ἐκεῖνος τοῖσι χρηστοῖσι φθονεῖ.
ΧΡ. Καὶ μὴν διὰ τοὺς χρηστούς γε τιμᾶται μόνους
καὶ τοὺς δικαίους.
ΠΛ. Ὁμολογῶ σοι.
ΧΡ. Φέρε, τί οὖν;
Εἰ πάλιν ἀναβλέψειας, ὥσπερ καὶ πρὸ τοῦ,
φεύγοις ἂν ἤδη τοὺς πονηρούς;
ΠΛ. Φήμ' ἐγώ.
ΧΡ. Ὡς τοὺς δικαίους δ' ἂν βαδίζοις;
ΠΛ. Πάνυ μὲν οὖν·
πολλοῦ γὰρ αὐτοὺς οὐχ ἑόρακά πω χρόνου.
ΚΑ. Καὶ θαῦμά γ' οὐδέν· οὐδ' ἐγὼ γὰρ ὁ βλέπων.
ΠΛ. Ἄφετόν μέ νυν· ἴστον γὰρ ἤδη τἀπ' ἐμοῦ.
ΧΡ. Μὰ Δί', ἀλλὰ πολλῷ μᾶλλον ἑξόμεσθά σου.
ΠΛ. Οὐκ ἠγόρευον ὅτι παρέξειν πράγματα
ἐμέλλετόν μοι;
ΧΡ. Καὶ σύ γ', ἀντιβολῶ, πιθοῦ,
καὶ μή μ' ἀπολίπῃς· οὐ γὰρ εὑρήσεις ἐμοῦ
ζητῶν ἔτ' ἄνδρα τοὺς τρόπους βελτίονα.

90 ἐποίησεν Bentley : ἐποίησε RVΦ || 91 -γιγνώσκοιμι Ald. : -γινώσκοιμι RVΦ || 92 οὕτως RΦ : Χρ. οὕτως V || χρηστοῖσι RΦ : χρηστοῖς V || 93 Χρ. RΦ : om. V || 98 ἑόρακά Tyrwhitt : ἑώρακά RVΦ || πω R : om. Φ που V || 99 Κα. Bumberg : Χρ. RVΦ.

Carion. — (*Aux Spectateurs*[1].) Non, par Zeus, il n'en est pas d'autre — excepté moi.

Ploutos. — C'est ce qu'ils disent tous ; mais une fois qu'ils me possèdent vraiment et sont devenus riches, leur perversité dépasse absolument toute mesure.

Chrémyle. — Il est vrai qu'il en est ainsi, mais il ne sont pas tous mauvais.

Ploutos. — « Tous », non, par Zeus, mais « tous tant qu'ils sont ».

Carion. — Il t'en cuira fort.

Chrémyle. — Et à toi, sais-tu combien, si tu restes auprès de nous, t'arriveront de bonnes choses ? Fais attention, tu vas l'apprendre. Je pense, en effet, je pense — avec l'aide de dieu, dirai-je[2] — te guérir de ce mal d'yeux et te faire voir.

Ploutos. — Du tout, ne fais pas cela. Je ne veux pas recouvrer la vue.

Chrémyle. — Que dis-tu ?

Carion. — (*Aux Spectateurs.*) Cet homme est malheureux de naissance.

Ploutos. — Zeus, pour sûr, s'il apprenait les folies de de ces gens-là, serait dans le cas de m'écraser.

Chrémyle. — Ne le fait-il pas déjà, lui qui te laisse aller çà et là en heurtant ?

Ploutos. — Je ne sais ; mais j'ai de lui une peur affreuse[3].

poète attribue la cécité traditionnelle de Ploutos et jusque-là expliquée par d'autres raisons. Zeus ainsi mis en cause au début de la comédie aura, à la fin de la pièce, à subir avec les autres dieux les conséquences de la guérison de Ploutos. Dans tout le théâtre d'Aristophane la puissance et la félicité des dieux sont en raison inverse de celles des hommes. Voir notamment les *Oiseaux*.

[1] Jeu de scène fréquent chez Aristophane. Cf. 99, 111 ; *Nuées*, 897, 1096 et suiv. ; *Paix*, 822 et suiv., 965 ; *Thesmophories*, 814 et suiv. ; *Grenouilles*, 976 ; *Assemblée*, 440.

[2] Même expression dans Euripide, *Médée*, 625.

[3] Comme Prométhée dans les *Oiseaux*, 1494 et suivants.

ΚΑ. Μὰ τὸν Δί', οὐ γὰρ ἔστιν ἄλλος πλὴν ἐγώ.
ΠΛ. Ταυτὶ λέγουσι πάντες· ἡνίκ' ἂν δέ μου
τύχωσ' ἀληθῶς καὶ γένωνται πλούσιοι,
ἀτεχνῶς ὑπερβάλλουσι τῇ μοχθηρίᾳ.
ΧΡ. Ἔχει μὲν οὕτως, εἰσὶ δ' οὐ πάντες κακοί.
ΠΛ. Μὰ Δί', ἀλλ' ἁπαξάπαντες.
ΚΑ. Οἰμώξει μακρά.
ΧΡ. Σοὶ δ' ὡς ἂν εἰδῇς ὅσα, παρ' ἡμῖν ἢν μένῃς,
γενήσετ' ἀγαθά, πρόσεχε τὸν νοῦν ἵνα πύθῃ.
Οἶμαι γάρ, οἶμαι — ξὺν θεῷ δ' εἰρήσεται —
ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας
βλέψαι ποήσας.
ΠΛ. Μηδαμῶς τοῦτ' ἐργάσῃ·
οὐ βούλομαι γὰρ πάλιν ἀναβλέψαι.
ΧΡ. Τί φῄς;
ΚΑ. Ἄνθρωπος οὗτός ἐστιν ἄθλιος φύσει.
ΠΛ. Ὁ Ζεὺς μὲν οὖν οἶδ' ὡς, τὰ τούτων μῶρ' ἔμ' εἰ
πύθοιτ', ἂν ἐπιτρίψειε.
ΧΡ. Νῦν δ' οὐ τοῦτο δρᾷ,
ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ;
ΠΛ. Οὐκ οἶδ'· ἐγὼ δ' ἐκεῖνον ὀρρωδῶ πάνυ.

106 Κα. V : om. RΦ || γὰρ ἔστιν RUS : γάρ ἐστιν VAM || ἐγώ RVΦ : γρ. ἐμοῦ Vmg. || **107** ἡνίκ' ἂν δέ μου RAU : ἡνίκα δ' ἂν ἐμοῦ V ἡνίκα δέ μου M || **109** ἀτεχνῶς RAU: εὐτεχνῶς VM || **111** μακρά Φ : μακράν RV || **112** σοὶ Dindorf : σὺ RVΦ || **114** ξὺν VΦ : σὺν R || **115** et **119** ἐν τῷ δευτέρῳ μεταπεποίηται· τῆς συμφορᾶς ταύτης σε (R Ald.. γε V) παύσειν (RV, -σει Ald.) ἥ σ' ἔχει (Valckenaer, ἧς ἔχεις RV Ald.) et μεταπεποίηται δὲ καὶ τοῦτο (119) ἐν τῷ δευτέρῳ Σ^RV Ald^ ; cf. C. Ludwig in *Commentat. philol. Ienens.* vol. IV, 1890. p. 87-94 et van Leeuwen in Proleg. edit. Pluti, p. IV, quibus frustra obloquitur W. Laible, *De Pluti Aristophaneae aetate interpretes antiqui quid iudicaverint.* Lipsiae 1909, p. 67-72 || **119** οἶδ' ὡς ex margine codicis sui (D) Brunck; cf. similem constructionem in Soph. Ant. 883-884 : εἰδὼς RVΦ || **119-120** ἔμ' εἰ | πύθοιτ' RVΦ ; pronom. ὑπερβατόν ut τοῦτο in 460, ὑμῖν in 512, με in Av. 1550, Lys. 753, et coniunct. in fine trimetri colloc. ut in 878, Av. 1017, Soph. Oed. C. 992 : ἔπη (με supra lin. add.) | εἰ πύθοιτ' M[s] || **120** ἂν ἐπιτρίψειε RΦ : ἐπιτρίψειεν V.

Chrémyle. — Vraiment? ô le plus poltron de tous les dieux! Crois-tu que la souveraineté de Zeus et ses foudres vaillent seulement un triobole[1], si tu recouvres la vue, même pour peu de temps?

Ploutos. — Ah! méchant, ne dis pas cela.

Chrémyle. — Sois tranquille. Je te prouverai que tu es bien plus puissant que Zeus[2]

Ploutos. — Moi, dis-tu?

Chrémyle. — Oui, par le ciel. Tout de suite, tenez. (*A Carion.*) Par quoi Zeus commande-t-il aux dieux?

Carion. — Par l'argent. Car il en a à foison[3].

Chrémyle. — Eh bien, qui donc lui fournit cet argent?

Carion. — (*Montrant Ploutos.*) Celui-ci.

Chrémyle. — Et on lui sacrifie grâce à qui? N'est-ce pas grâce à lui que voilà?

Carion. — Oui, par Zeus; et ce qu'on demande, c'est d'être riche, sans détour[4].

Chrémyle. — N'est-ce pas celui-ci qui est en cause? Et ne pourrait-il pas facilement, s'il voulait, faire cesser tout cela?

Ploutos. — Et pourquoi donc?

Chrémyle. — Parce que pas un homme ne sacrifierait plus ni bœuf, ni pâte, ni n'importe quoi d'autre[5], si tu ne voulais pas, toi.

Ploutos. — Comment?

Chrémyle. — Comment? Pas moyen d'acheter apparemment, si tu n'es pas là en personne pour donner l'ar-

[1] Cf. la même expression et une pensée analogue, *Paix*, 848. Chrémyle parle de la souveraineté de Zeus avec autant de dédain que Pisthétairos (*Oiseaux*, 1246 et suiv.) de celle des dieux.

[2] Pareillement, dans les *Oiseaux* (467 et suiv.), Pisthétairos prouve que le règne des oiseaux était antérieur à celui des dieux.

[3] Cf. 580.

[4] Cf. *Oiseaux*, 592, la passion des hommes pour la richesse. Dans les *Thesmophories*, 298, les femmes invoquent Ploutos sur le même pied que les autres divinités.

[5] C'est ce qui arrivera, en effet, à la fin de la pièce (v. 1112 et suiv.), relaté presque dans les mêmes termes.

ΧΡ. Ἄληθες, ὦ δειλότατε πάντων δαιμόνων;
Οἴει γὰρ εἶναι τὴν Διὸς τυραννίδα
καὶ τοὺς κεραυνοὺς ἀξίους τριωβόλου,
ἐὰν ἀναβλέψῃς σὺ κἂν σμικρὸν χρόνον;
ΠΛ. Ἆ, μὴ λέγ', ὦ πόνηρε, ταῦτ'.
ΧΡ. Ἔχ' ἥσυχος.
Ἐγὼ γὰρ ἀποδείξω σε τοῦ Διὸς πολὺ
μεῖζον δυνάμενον.
ΠΛ. Ἐμὲ σύ;
ΧΡ. Νὴ τὸν οὐρανόν.
Αὐτίκα γὰρ — ἄρχει διὰ τί ὁ Ζεὺς τῶν θεῶν;
ΚΑ. Διὰ τἀργύριον· πλεῖστον γάρ ἐστ' αὐτῷ.
ΧΡ. Φέρε,
τίς οὖν ὁ παρέχων ἐστὶν αὐτῷ τοῦθ';
ΚΑ. Ὁδί.
ΧΡ. Θύουσι δ' αὐτῷ διὰ τίν'; Οὐ διὰ τουτονί;
ΚΑ. Καὶ νὴ Δί' εὔχονταί γε πλουτεῖν ἄντικρυς.
ΧΡ. Οὔκουν ὅδ' ἐστὶν αἴτιος καὶ ῥᾳδίως
παύσειεν, εἰ βούλοιτο, ταῦτ' ἄν;
ΠΛ. Ὅτι τί δή;
ΧΡ. Ὅτι οὐδ' ἂν εἷς θύσειεν ἀνθρώπων ἔτι
οὐ βοῦν ἄν, οὐχὶ ψαιστόν, οὐκ ἄλλ' οὐδὲ ἕν,
μὴ βουλομένου σοῦ.
ΠΛ. Πῶς;
ΧΡ. Ὅπως; οὐκ ἔσθ' ὅπως
ὠνήσεται δήπουθεν, ἣν σὺ μὴ παρὼν

126 κἂν (κάν RV) RVM¹U : κἂν ἐπὶ AM² || σμικρὸν AM²; cf. Lys. 671 : μικρὸν RVM¹U || 127 Χρ. V : om. RΦ || 128 ἐγὼ V : Χρ. ἐγὼ RΦ || 129 μεῖζον VΦ : μείζω R || 130 τί Porson : τίν' RVΦ || 131 γάρ ἐστ' VΦ : γὰρ ἔστ' R || 132 ὁ παρέχων ἐστὶν RΦ : ἐστὶν ὁ παρέχων V || αὐτῷ VMU : αὐτὸ RA || 135 οὔκουν Brunck : οὐκ οὖν RV οὐκοῦν Φ || 136 παύσειεν... ταῦτ' ἂν VAM : παύσειαν... ταῦτα R παύσειεν... ταῦτ' U || Πλ. RΦ : Κα. V || ὅτι τί δή RΦ : ὅτι δή V γρ. ὅτινα V mg. || 137 ὅτι RVM : ὅτ' AU || οὐδ' ἂν εἷς RΦ : οὐδεὶς ἂν V || 138 ἂν RVMU : om. A || 139 σοῦ RΦ : σου V || ὅπως² RΦ : ὅπου V.

gent. Aussi, la puissance de Zeus, s'il te cause quelque ennui, tu la renverseras à toi seul.

Ploutos. — Que dis-tu ? C'est par moi qu'on lui sacrifie ?

Chrémyle. — Oui, dis-je, Et, par Zeus, les hommes ont-ils rien de brillant, de beau, d'agréable, c'est par toi que cela leur vient[1]. Car toutes choses sont subordonnées à la richesse[2].

Carion. — Moi, voyez-vous, c'est à cause d'une mince petite somme d'argent que je suis devenu esclave, moi qui auparavant étais libre[3].

Chrémyle. — Oui, et les courtisanes de Corinthe[4], on dit que, si d'aventure c'est un pauvre qui les sollicite, elles n'y font même pas attention ; mais, si c'est un riche, aussitôt elles lui présentent leur croupe.

Carion. — Oui, et les jeunes garçons, on dit qu'ils font de même, par amour non pour leurs amants, mais pour l'argent.

Chrémyle. — Pas les honnêtes du moins, mais les prostitués ; attendu qu'ils ne demandent pas d'argent, les honnêtes.

Carion. — Et quoi donc ?

Chrémyle. — L'un, un bon cheval, l'autre, des chiens de chasse.

Carion. — Ils auraient honte peut-être de demander de l'argent, et ils colorent d'un nom spécieux leur dépravation.

Chrémyle. — Et tous les arts et industries parmi les hommes, c'est grâce à toi qu'ils ont été inventés ; l'un de nous taille le cuir, assis ; un autre est forgeron ; un autre,

[1] Cf. 183.

[2] Cf. Horace, *Satires*, II 3, 94 et suiv., Ménandre, fragm. 537.

[3] Un homme libre incapable de payer sa dette au Trésor pouvait être vendu comme esclave, et cela pour deux ou trois mines. Cf. Xénophon, *Mémorables*, II 5, 2.

[4] Les courtisanes de Corinthe se faisaient payer très cher leurs faveurs. D'où le dicton : « Tout le monde n'a pas les moyens d'aller à Corinthe. »

αὐτὸς διδῷς τἀργύριον, ὥστε τοῦ Διὸς
τὴν δύναμιν, ἣν λυπῇ τι, καταλύσεις μόνος.

ΠΛ. Τί λέγεις; δι' ἐμὲ θύουσιν αὐτῷ;

ΧΡ. Φήμ' ἐγώ.
Καὶ νὴ Δί' εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν
ἢ χαρίεν ἀνθρώποισι, διὰ σὲ γίγνεται.
Ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα.

ΚΑ. Ἔγωγέ τοι διὰ μικρὸν ἀργυρίδιον
δοῦλος γεγένημαι πρότερον ὢν ἐλεύθερος.

ΧΡ. Καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας,
ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ,
οὐδὲ προσέχειν τὸν νοῦν, ἐὰν δὲ πλούσιος,
τὸν πρωκτὸν αὐτὰς εὐθὺς ὡς τοῦτον τρέπειν.

ΚΑ. Καὶ τούς γε παῖδάς φασι ταὐτὸ τοῦτο δρᾶν
οὐ τῶν ἐραστῶν, ἀλλὰ τἀργυρίου χάριν.

ΧΡ. Οὐ τούς γε χρηστούς, ἀλλὰ τοὺς πόρνους· ἐπεὶ
αἰτοῦσιν οὐκ ἀργύριον οἱ χρηστοί.

ΚΑ. Τί δαί;

ΧΡ. Ὁ μὲν ἵππον ἀγαθόν, ὁ δὲ κύνας θηρευτικάς.

ΚΑ. Αἰσχυνόμενοι γὰρ ἀργύριον αἰτεῖν ἴσως
ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

ΧΡ. Τέχναι δὲ πᾶσαι διὰ σὲ καὶ σοφίσματα
ἐν τοῖσιν ἀνθρώποισίν ἐσθ' ηὑρημένα.

144 ἐστὶ RVA : ἔστι MU ἔνεστι S || λαμπρὸν καὶ καλὸν RA²MUS[s] : καλὸν καὶ λαμπρὸν A¹S[rel.] καλὸν V || **145** ἀνθρώποισι RMUS : ἐν ἀνθρώποισι VA || **146** τῷ RV²AM : τοῦ V¹Σ[V] τὼ U || γάρ ἐσθ' MU : γὰρ ἔσθ' RVA || **147** μικρὸν RV : σμικρὸν Φ || ἀργυρίδιον RVMU : γ' ἀργυρίδιον, A || πρότερον ὢν ἐλεύθερος ex R mg. Heimreich : διὰ τὸ μὴ πλουτεῖν ἴσως RVΦ. Interpretamentum interlineare διὰ τό μὴ πλουτεῖν ἱκανῶς (van Leeuwen) in archetypo verbis διὰ μικρὸν ἀργυρίδιον adscriptum male in textum irrepsit. || **151** ἐὰν RΦ : ἂν VS || **152** ὡς VΦ : ἐς RS || τρέπειν RVMUS : ῥέπειν A || **153** φασὶ ταὐτὸ (-τὸν A) VΦ : φασὶν αὐτὸ R || **155** Χρ. RΦ : Πλ. V || **156** Κα. (Θερ.) Φ : Πλ. R Χρ. V || **157** Χρ. RΦ : Πλ. V || θηρευτικάς VAM : θηρευτικούς RU || **158** Κα. (Θερ.) Φ : om. R Χρ. V || **160** Χρ. Φ : om. RV || **161** ἀνθρώποισίν ἐσθ' Φ : ἀνθρώποισιν ἔσθ' RV.

charpentier ; celui-ci est orfèvre, ayant reçu l'or de toi...

Carion. — ...celui-là est tire-laine, par Zeus ; cet autre perceur de murs...

Chrémyle. — ... l'un est foulon...

Carion. — ...l'autre nettoie les peaux...

Chrémyle. — ...celui-ci est tanneur...

Carion. — ...celui-là vend des oignons...

Chrémyle. — ...et le galant pris sur le fait, c'est à toi qu'il doit, je présume, d'être épilé[1].

Ploutos. — Misère de moi ! tout cela, je l'ignorais depuis longtemps !

Carion. — Et le Grand Roi, n'est-ce pas à cause de lui qu'il fait le fier[2] ? Et l'Ecclésie, n'est-ce pas à cause de lui qu'elle a lieu ?

Chrémyle. — Et quoi ? les trières, n'est-ce pas toi qui les équipes, dis-moi ?

Carion. — Et le corps des mercenaires à Corinthe[3], n'est-ce pas lui qui les entretient ? Et Pamphilos[4], n'est-ce à cause de lui qu'il vo...ciférera ?

Chrémyle. — Et le marchand d'aiguilles avec Pamphilos ?

Carion. — Et Agyrrhios, n'est-ce pas à cause de lui qu'il fait le péteux ?

Chrémyle. — Et Philepsios, n'est-ce pas en vue de toi qu'il dit des contes ? N'est-ce pas pour toi que s'est faite l'alliance avec les Egyptiens ? Pour toi, que Laïs aime Philonidès ?

[1] Pour l'amener par la douleur à payer son amende.

[2] L'or du roi des Perses a toujours joué un rôle important dans les affaires grecques : il était la principale cause de la fierté insolente du Grand-Roi. Cf. Xénophon, *Hell.*, V 1, 35.

[3] Le général athénien Iphicratès, venu au secours de Corinthe attaquée par les Lacédémoniens, avait, au printemps de 390, battu ces derniers (Xénophon, *Hell.* IV 5) ; en partant, il avait laissé à Corinthe un corps de mercenaires *(ibid.)*.

[4] Pamphilos était cette année même stratège à Athènes (Xénophon, *Hell.* V 1, 2) ; il passait pour voleur des fonds publics (cf. Platon le Comique, fragm. 14). *Vociférera* est une surprise pour

Ὁ μὲν γὰρ ἡμῶν σκυτοτομεῖ καθήμενος,
ἕτερος δὲ χαλκεύει τις, ὁ δὲ τεκταίνεται,
ὁ δὲ χρυσοχοεῖ γε χρυσίον παρὰ σοῦ λαβών, —

ΚΑ. ὁ δὲ λωποδυτεῖ γε νὴ Δί', ὁ δὲ τοιχωρυχεῖ, —

ΧΡ. ὁ δὲ κναφεύει γ', —
ΚΑ. ὁ δέ γε πλύνει κῴδια, —

ΧΡ. ὁ δὲ βυρσοδεψεῖ γ' —
ΚΑ. ὁ δέ γε πωλεῖ κρόμμυα, —

ΧΡ. ὁ δ' ἁλούς γε μοιχὸς διὰ σέ που παρατίλλεται.

ΠΛ. Οἴμοι τάλας, ταυτί μ' ἐλάνθανεν πάλαι.

ΚΑ. Μέγας δὲ βασιλεὺς οὐχὶ διὰ τοῦτον κομᾷ;
Ἐκκλησία δ' οὐχὶ διὰ τοῦτον γίγνεται;

ΧΡ. Τί δέ; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.

ΚΑ. Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει;
Ὁ Πάμφιλος δ' οὐχὶ διὰ τοῦτον κλαύσεται;

ΧΡ. Ὁ βελονοπώλης δ' οὐχὶ μετὰ τοῦ Παμφίλου;

ΚΑ. Ἀγύρριος δ' οὐχὶ διὰ τοῦτον πέρδεται;

ΧΡ. Φιλέψιος δ' οὐχ ἕνεκα σοῦ μύθους λέγει;
Ἡ ξυμμαχία δ' οὐ διὰ σὲ τοῖς Αἰγυπτίοις;
Ἐρᾷ δὲ Λαῒς οὐ διὰ σὲ Φιλωνίδου;

162 ἡμῶν V ; cf. Lys. 17 : om. R αὐτῶν Φ || 163 δὲ RVAM : om. U || 164 γε RAU : eras. M γε νή· V || 165 Κα. Bentley : om. RVΦ || γε RVMU : om. A || 166 Χρ. et Κα. Bergk : om. RVΦ || κναφεύει RVM ; cf. Σ^{RV} : γναφεύει AU || γ' RAU : om. VM || γε MU : om. RVA || 167-168 Χρ. et Κα. et Χρ. Lenting : om. RVΦ || 167 γ' (γε R) RΦ : om. V || γε Φ : om. RV || 168 σέ (σε R) που RΦS : σὲ ποῦ V || 169 ἐλάνθανεν RAU : ἐλάνθανε VM || 170 Κα. Brunck : Χρ. RVΦ || 171 τοῦτον RVΦ : Πλοῦτον S || 172 Χρ. Bergk : om. RV Κα. (Θερ.) Φ || δέ AU : δαί RVMS || τὰς R^2ΦS : om. R^1V || 173 Κα. Bergk : om. RV Χρ. Φ || 174 ὁ RV : Κα. (Θερ.) ὁ Φ || 175 Χρ. Φ : om. RV || βελονοπώλης RVΦ : Βελονοπώλης $\Sigma^{RV\,Ald.}$S || 176 Κα. (Θερ.) Φ : om. RV || 177 Χρ. Φ : om. RV || σοῦ RΦ : σου V || 178 ἡ RV : Κα. (Θερ.) ἡ Φ || οὐ R : οὐχὶ VΦ || 179 ἐρᾷ RV : Χρ. ἐρᾷ Φ || Λαῒς RVΦΣ^{RV} : Ναῒς Athen. p. 592 d. Cf. $\Sigma^{Ald.}$ ὅτι Ἀριστοφάνης (poeta, non grammaticus, ut putat van Leeuwen) οὐ λέγει σύμφωνα κατὰ τοὺς χρόνους κτλ.

Carion. — Et la tour de Timothée[1]...

Chrémyle. — Qu'elle te tombe dessus! Et les affaires, n'est-ce pas pour toi qu'elles se font toutes ? Car seul, archiseul, tu es cause de tout, et des maux et des biens, sois-en sûr.

Carion. — Même à la guerre, par exemple, la victoire est toujours à ceux qu'il appuie de son poids, sans plus.

Ploutos. — Quoi ! je suis capable, à moi seul, de faire tant de choses ?

Chrémyle. — Oui, et, par Zeus, bien plus encore. Au point que jamais personne n'en a eu assez de toi. De tout le reste il y a satiété : d'amour...

Carion. — ...de pain...

Chrémyle. — ...de musique. .

Carion. — ...de friandises...

Chrémyle. — ...d'honneur...

Carion. — ...de tartes...

Chrémyle. — ...de vertu virile...

Carion. — ...de figues sèches...

Chrémyle. — ...d'ambition...

Carion. — ...de pain d'orge...

Chrémyle — ...de commandement militaire...

Carion. — ...de purée de lentilles...

Chrémyle. — Mais de toi jamais personne n'a assez. A-t-on reçu treize talents, bien plus encore on désire en recevoir seize. Si l'on en vient à bout, c'est quarante que

volera. — Le marchand d'aiguilles (v. 175), d'ailleurs inconnu, aurait été son associé. — Sur Agyrrhios, riche démagogue, auteur du triobole, et insolemment fier de sa popularité acquise par ce moyen, voir la *Notice.* — Philepsios, débiteur du Trésor, avait été jeté en prison (cf. Démosthène, XXIV 135) ; les « contes qu'il disait », ce sont les mauvaises raisons qu'il donnait de sa conduite : μύθους = λόγους (*Guêpes*, 320). — Les Athéniens avaient aidé les Égyptiens contre les Perses, et ce secours leur avait été payé cher (cf. Xénophon, *Hell.* IV, 8, 24 ; V 1, 10). — La fameuse courtisane Laïs vivait à Corinthe (v. 303) ; Philonidès était un grand diable (Schol.), laid et bête (Platon le Comique, fr. 64), mais riche.

[1] Général athénien, très riche, fils de Conon. Il avait bâti à Athènes une tour dédiée à la Fortune.

ΚΑ. Ὁ Τιμοθέου δὲ πύργος —
ΧΡ. ἐμπέσοι γέ σοι.
Τὰ δὲ πράγματ' οὐχὶ διὰ σὲ πάντα πράττεται;
Μονώτατος γὰρ εἶ σὺ πάντων αἴτιος
καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, εὖ ἴσθ' ὅτι.

ΚΑ. Κρατοῦσι γοῦν κἀν τοῖς πολέμοις ἑκάστοτε,
ἐφ' οἷς ἂν οὗτος ἐπικαθέζηται μόνον.

ΠΛ. Ἐγὼ τοσαῦτα δυνατός εἰμ' εἷς ὢν ποεῖν;

ΧΡ. Καὶ ναὶ μὰ Δία τούτων γε πολλῷ πλείονα·
ὥστ' οὐδὲ μεστός σου γέγον' οὐδεὶς πώποτε.
Τῶν μὲν γὰρ ἄλλων ἐστὶ πάντων πλησμονή·
ἔρωτος, —
ΚΑ. ἄρτων,
ΧΡ. μουσικῆς, —
ΚΑ. τραγημάτων, —

ΧΡ. τιμῆς, —
ΚΑ. πλακούντων, —
ΧΡ. ἀνδραγαθίας, —
ΚΑ. ἰσχάδων, —

ΧΡ. φιλοτιμίας, —
ΚΑ. μάζης, —
ΧΡ. στρατηγίας, —
ΚΑ. φακῆς, —

ΧΡ. σοῦ δ' ἐγένετ' οὐδεὶς μεστὸς οὐδεπώποτε.
Ἀλλ' ἢν τάλαντά τις λάβῃ τριακαίδεκα,
πολὺ μᾶλλον ἐπιθυμεῖ λαβεῖν ἑκκαίδεκα·

180 Κα. (Θερ.) Φ : om. RV || Χρ. Φ : om. R^{1} Κα. R^{2}V || 181 τὰ A : Κα. (Θερ. M) R^{1}MU Χρ. τὰ R^{2}V || πράττεται RΦ : γίνεται V || 184 Κα. (Θερ. R^{1}) R^{1}V : om. AU Χρ. R^{2}M || κἀν RΦS : καὶ V || 185 οὗτος RΦ : αὐτός VS || -έζηται RVΦ : -ίζηται M^{2}S || 185 μόνον R : μόνος (ς in ras. A) VΦS || 186 τοσαῦτα RΦ : τοσαυτὶ V || 187 Χρ. (in ras. R) RVAM : Κα. U || 188 μεστός σου RVAM : μεστὸς σοῦ U || γέγον' A : γέγονεν RVMU || 189 ἐστὶ (ἔστι A) πάντων VA : πάντων ἔστι RMU || 190 Κα.¹ VΦΣ^{R} : om. R || 193 Χρ. VΦ : om. R || 195 vers. om. $R^{1}A^{1}$ inser. R^{2} in marg. add. A^{2}.

l'on veut, sans quoi l'on dit que la vie n'est pas digne d'être vécue[1].

Ploutos. — Vous parlez, ma foi, tous deux tout à fait bien, ce me semble; une seule chose me fait peur.

Chrémyle. — Explique, à propos de quoi?

Ploutos. — Comment de cette puissance que vous dites m'appartenir deviendrai-je le maître?

Chrémyle. — Oh! par Zeus; mais tout le monde dit que rien n'est plus poltron que la richesse[2].

Ploutos. — Pas du tout. C'est quelque perceur de murs qui m'a calomnié : il aura pénétré un jour dans ma maison, mais n'a rien trouvé à prendre, tout étant sous clef; et il a nommé ma prévoyance poltronnerie[3].

Chrémyle. — Ne t'inquiète donc de rien. Songe que si tu montres toi-même du zèle pour notre affaire, je te rendrai la vue plus perçante que celle de Lyncée[4].

Ploutos. — Comment donc le pourras-tu, n'étant qu'un mortel?

Chrémyle. — J'ai quelque bon espoir, d'après ce que m'a dit

Phoibos même agitant le Pythique laurier[5].

Ploutos. — Lui aussi est donc du secret?

Chrémyle. — Assurément.

Ploutos. — Prenez garde...

Chrémyle. — Ne te soucie de rien, mon brave. Car

[1] Thème banal; cf. v. 969. Cf. Euripide *Héraclès*, 1257 et suiv.; *Ion*, 670; Antiphon, III 2, 10.

[2] Phrase à double sens : la richesse ici, c'est d'abord Ploutos lui-même, si peureux (v. 198) et si hésitant; ce sont aussi les riches en bloc, toujours en souci de leur argent, tremblant à la pensée qu'ils pourraient le perdre, et obligés de prendre mille précautions pour le garder (cf. v. 205-6).

[3] Ploutos veut être sûr avant de se risquer.

[4] Lyncée, l'un des Argonautes, avait la vue si perçante qu'il voyait à travers les objets.

[5] Vers tragique. Sur le laurier d'Apollon (Phoibos) à Delphes, cf. Callimaque, *Hymne à Apollon*, et Virgile, *Énéide*, III 90 et suiv.

κἂν ταῦθ' ἀνύσηται, τετταράκοντα βούλεται,
ἤ οὔ φησιν εἶν' αὑτῷ βιωτὸν τὸν βίον.
ΠΛ. Εὖ τοι λέγειν ἔμοιγε φαίνεσθον πάνυ·
πλὴν ἓν μόνον δέδοικα —
ΧΡ. Φράζε, τοῦ πέρι;
ΠΛ. ὅπως ἐγὼ τὴν δύναμιν ἣν ὑμεῖς φατε
ἔχειν με, ταύτης δεσπότης γενήσομαι.
ΧΡ. Νὴ τὸν Δί', ἀλλὰ καὶ λέγουσι πάντες ὡς
δειλότατόν ἐσθ' ὁ πλοῦτος.
ΠΛ. Ἥκιστ', ἀλλά με
τοιχωρύχος τις διέβαλ'. Εἰσδὺς γάρ ποτε
οὐκ εἶχεν εἰς τὴν οἰκίαν οὐδὲν λαβεῖν,
εὑρὼν ἁπαξάπαντα κατακεκλεισμένα·
εἶτ' ὠνόμασέ μου τὴν πρόνοιαν δειλίαν.
ΧΡ. Μή νυν μελέτω σοι μηδέν· ὡς ἐὰν γένῃ
ἀνὴρ πρόθυμος αὐτὸς εἰς τὰ πράγματα,
βλέποντ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως.
ΠΛ. Πῶς οὖν δυνήσει τοῦτο δρᾶσαι θνητὸς ὤν;
ΧΡ. Ἔχω τιν' ἀγαθὴν ἐλπίδ' ἐξ ὧν εἶπέ μοι
ὁ Φοῖβος αὐτὸς Πυθικὴν σείσας δάφνην.
ΠΛ. Κἀκεῖνος οὖν ξύνοιδε ταῦτα;
ΧΡ. Φήμ' ἐγώ.
ΠΛ. Ὁρᾶτε —
ΧΡ. Μὴ φρόντιζε μηδέν, ὦγαθέ.

196 κἂν Brunck : κἢν RVΦ || ταῦθ' R : ταῦτ' VΦ || ἀνύσηται (ἀ- Porson) Dawes : ἀνύσῃ RVΦ || 197 ἤ οὔ φησιν εἶν' Bamberg : ἤ φησὶν (ἤ φησιν MU) οὐχ εἶναι RVMU ἤ φησιν A || αὑτῷ βιωτὸν (αὑ- Σ^{RV}) Bamberg : βιωτὸν αὑτῷ RVMU ἀβίωτον αὑτῷ A || 199 φράζε RΦ : φράσον V || πέρι; Hemsterhuis : περί· RV^1 πέρι· $V^2Φ$ || 203 δειλότατον VM^2 : δειλότατος RΦ || 204 διέβαλ' RU : διέβαλεν VAM || 205 λαβεῖν RΦ : λαμβάνειν V || 206 post 207 transp. R. sed litt. β et α ante 207 et 206 adscript. iust. ordin. restit. || κατακεκλεισμένα VA ; etiam in Vesp. 198 κεκλεισμένης (non -ειμ-) RV : κατακεκλειμένα RU τά γ' ἐγκεκλεισμένα M || 207 ὠνόμασέ Φ : ὠνόμασέν RV || 210 τοῦ R : om. VΦ || 211 οὖν $R^2VΦ$: οὐ R^1 || 214 ξύν- VM : σύν- RAU || 215-217 vers. om. R^1 in marg. sup. add. R^2.

moi, sache-le bien, quand je devrais mourir[1], j'en viendrai moi-même à bout.

Carion. — Et, si tu veux, moi aussi.

Chrémyle. — Et bien d'autres encore seront nos auxiliaires, tous ceux qui, étant honnêtes, n'avaient pas de pain.

Ploutos. — Heu, heu! tu parles de tristes auxiliaires[2].

Chrémyle. — Non, s'ils redeviennent riches tout d'abord. *(A Carion).* Toi, pars, cours vite...

Carion. — Quoi faire? dis.

Chrémyle. — Appelle les camarades laboureurs[3], — tu les trouveras sans doute aux champs, peinant dur — pour que chacun vienne ici prendre avec nous sa part du Ploutos que voici.

Carion. — J'y vais de ce pas; mais *(Lui présentant une marmite.)* ce bout de viande[4], que quelqu'un de la maison le prenne et le rentre.

Chrémyle. — Oui, je m'en inquiéterai. Mais finis-en et cours. *(Carion lui passe la marmite et sort, par la gauche.)* Et toi, Ploutos, ô le plus puissant de tous les dieux, entre ici avec moi. Car voici la maison qu'il te faut aujourd'hui combler de richesses, à droit et à tort.

Ploutos. — Mais cela m'ennuie, par les dieux, chaque fois que j'entre dans une maison étrangère, tout à fait, car rien de bon ne m'en est jamais revenu. Si c'est chez un parcimonieux que je suis entré d'aventure, il a tôt fait de m'enfouir dans la terre profondément; qu'un honnête homme, son ami, vienne lui demander une toute petite somme d'argent, il se défend de m'avoir même vu jamais. Si c'est chez un

[1] En termes pareils Cléonice, dans *Lysistrata*, 123, et Médée, chez Euripide (*Médée* 392) expriment leur résolution d'agir.

Cf. Euripide, *Troyennes*, 470, où Hécube exprime son peu de confiance dans l'aide des dieux.

[3] Dans les paroles de Chrémyle on sent la sympathie du poète lui-même pour les laboureurs attiques, pauvres et si travailleurs. Chrémyle est un brave homme dont la générosité tranche avec la pusillanimité de Ploutos.

[4] Ce bout de viande était une partie de la victime que Chrémyle

'Εγὼ γάρ, εὖ τοῦτ' ἴσθι, κἂν δῆ μ' ἀποθανεῖν,
αὐτὸς διαπράξω ταῦτα.
ΚΑ. Κἂν βούλῃ γ', ἐγώ.
ΧΡ Πολλοὶ δ' ἔσονται χἄτεροι νῷν ξύμμαχοι,
ὅσοις δικαίοις οὖσιν οὐκ ἦν ἄλφιτα.
ΠΛ. Παπαῖ, πονηρούς γ' εἶπας ἡμῖν ξυμμάχους.
ΧΡ. Οὔκ, ἤν γε πλουτήσωσιν ἐξ ἀρχῆς πάλιν.
'Αλλ' ἴθι σὺ μὲν ταχέως δραμὼν —
ΚΑ. Τί δρῶ; λέγε.
ΧΡ. τοὺς ξυγγεώργους κάλεσον, — εὑρήσεις δ' ἴσως
ἐν τοῖς ἀγροῖς αὐτοὺς ταλαιπωρουμένους, —
ὅπως ἂν ἴσον ἕκαστος ἐνταυθοῖ παρὼν
ἡμῖν μετάσχῃ τοῦδε τοῦ Πλούτου μέρος.
ΚΑ. Καὶ δὴ βαδίζω. Τουτοδὶ τὸ κρεᾴδιον
τῶν ἔνδοθέν τις εἰσενεγκάτω λαβών.
ΧΡ. 'Εμοὶ μελήσει τοῦτό γ'· ἀλλ' ἀνύσας τρέχε.
Σὺ δ', ὦ κράτιστε Πλοῦτε πάντων δαιμόνων,
εἴσω μετ' ἐμοῦ δεῦρ' εἴσιθ'· ἡ γὰρ οἰκία
αὕτη 'στὶν ἣν δεῖ χρημάτων σε τήμερον
μεστὴν ποῆσαι καὶ δικαίως κἀδίκως.
ΠΛ. 'Αλλ' ἄχθομαι μὲν εἰσιὼν νὴ τοὺς θεοὺς
εἰς οἰκίαν ἑκάστοτ' ἀλλοτρίαν πάνυ·
ἀγαθὸν γὰρ ἀπέλαυσ' οὐδὲν αὐτοῦ πώποτε.
Ἢν μὲν γὰρ ὡς φειδωλὸν εἰσελθὼν τύχω,
εὐθὺς κατώρυξέν με κατὰ τῆς γῆς κάτω·
κἄν τις προσέλθῃ χρηστὸς ἄνθρωπος φίλος
αἰτῶν λαβεῖν τι σμικρὸν ἀργυρίδιον,
ἔξαρνός ἐστι μηδ' ἰδεῖν με πώποτε.

216 κἂν R[s] : καὶ V κεἰ Φ || δῆ Dindorf ; cf. ad Ran. 265 : δεῖ R²VΦ || 220 ξυμ- ΦS : συμ- RV || 227 τουτοδὶ τὸ Dobree : τουτοδὴ τὸ RΣRλ τοῦτο δὴ τὸ VM τοῦτο δὲ τὸ AU || 228 λαβών RΦ : παρών V (ex 225) || 231 ἐμοῦ VΦ : ἐμὲ R || 237 ὡς Iuntina (1525) : εἰς RVΦ || 240 σμικρὸν V ; cf. Vesp. 511 : μικρὸν RΦ.

écervelé que je suis entré d'aventure, jeté en pâture aux courtisanes et aux dés[1], on me met à la porte tout nu[2], en un rien de temps.

Chrémyle. — C'est que jamais tu n'es tombé sur un homme modéré. Or moi je suis de ce caractère à peu près toujours. J'aime et économiser comme pas un et par contre dépenser quand il le faut. Mais entrons. Je veux te faire voir à ma femme et à mon fils, mon unique[3], que j'aime le plus au monde... après toi[4].

Ploutos. — Je te crois.

Chrémyle. — Car pourquoi ne te dirait-on pas la vérité? *(Ils entrent chez Chrémyle.)*

Par la parodos gauche entre dans l'Orchestra, conduit par Carion, le Chœur composé de vingt-quatre campagnards.

Carion. — *(Au Chœur.)* O vous qui tant de fois mangeâtes le même thym[5] que mon maître, ô amis, nos compagnons de dème, amoureux du labeur, venez, empressez-vous, dépêchez; car il n'est plus temps de lambiner; vous êtes à l'instant même où il faut être là pour porter secours.

Le Coryphée. — Ne vois-tu pas que depuis longtemps nous nous avançons avec ardeur, autant qu'on peut l'attendre d'hommes débiles, déjà vieux? Mais toi tu juges bon peut-être que je coure, avant même de m'avoir dit pour quel motif ton maître nous a appelés ici.

avait sacrifiée dans le temple d'Apollon. Selon l'usage, il voulait en faire part à ses parents et à ses amis.

[1] Les femmes et le jeu, les deux causes principales des grosses pertes d'argent.

[2] C'est-à-dire sans le moindre égard, sans un mot de reconnaissance.

[3] Ce fils pour l'avenir duquel Chrémyle est allé consulter Apollon. Cf. v. 35 et suiv.

[4] Cette facétie inattendue termine en gaieté une période d'un ton plutôt grave.

[5] L'expression « manger le même thym » signifie « vivre de la vie simple et frugale » et convient d'autant mieux aux laboureurs que le thym abonde à la campagne. Cf. 283.

Ἢν δ' ὡς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχω,
πόρναισι καὶ κύβοισι παραβεβλημένος
γυμνὸς θύραζ' ἐξέπεσον ἐν ἀκαρεῖ χρόνου.

ΧΡ. Μετρίου γὰρ ἀνδρὸς οὐκ ἐπέτυχες πώποτε.
Ἐγὼ δὲ τούτου τοῦ τρόπου πώς εἰμ' ἀεί·
χαίρω τε γὰρ φειδόμενος ὡς οὐδεὶς ἀνὴρ
πάλιν τ' ἀναλῶν, ἡνίκ' ἂν τούτου δέῃ.
Ἀλλ' εἰσίωμεν, ὡς ἰδεῖν σε βούλομαι
καὶ τὴν γυναῖκα καὶ τὸν υἱὸν τὸν μόνον,
ὃν ἐγὼ φιλῶ μάλιστα μετὰ σέ.

ΠΛ. Πείθομαι.

ΧΡ. Τί γὰρ ἄν τις οὐχὶ πρὸς σὲ τἀληθῆ λέγοι;

ΚΑ. Ὦ πολλὰ δὴ τῷ δεσπότῃ ταὐτὸν θύμον φαγόντες,
ἄνδρες φίλοι καὶ δημόται καὶ τοῦ πονεῖν ἐρασταί,
ἴτ', ἐγκονεῖτε, σπεύδεθ', ὡς ὁ καιρὸς οὐχὶ μέλλειν,
ἀλλ' ἔστ' ἐπ' αὐτῆς τῆς ἀκμῆς, ᾗ δεῖ παρόντ' ἀμύνειν.

ΧΟΡΟΣ

Οὔκουν ὁρᾷς ὁρμωμένους ἡμᾶς πάλαι προθύμως,
ὡς εἰκός ἐστιν ἀσθενεῖς γέροντας ἄνδρας ἤδη;
Σὺ δ' ἀξιοῖς ἴσως με θεῖν, πρὶν ταῦτα καὶ φράσαι μοι
ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο.

242 ὡς RΦ : εἰς VS || 243 κύβοισι RΦS : κύβοις V || 244 ἐξ- RV : om. Φ || χρόνου Etym. M. p. 45, 26 : χρόνῳ (ex χθρ- corr. R) RVΦS || 245 οὐκ ἐπέτυχες RΦ : ἐπέτυχες οὐδὲ V || 246 τοῦ VΦ : om. R || πώς εἰμ' Hemsterhuis : πῶς εἶμ' RVΦ || 247 ἀνὴρ RVΦ : ἄλλος S || 249 σε VM : σὲ RAU || 251 μάλιστα VΦ : om. R^1 add. R^2 mg. || 252 Χρ. VΦ : om. R || τί RΦ : τίς V || 253 Κα. VΦ : Θερ. eras. R Χρ. R^2 || 255 σπεύδεθ' RΦS : καὶ (αι eras.) σπεύδεθ' V || ὡς ὁ R^2ΦS : ὡς R^1 οὐ γὰρ V || 256 παρόντ' V : παρόντας RΦΣ^R || 257 οὔκουν Bergler : οὐκ οὖν RV οὐκοῦν Φ || προθύμως RVMUS^R, ubi συντόμως in συντόνως corr. Kuster : προθύμους A || 258 ἐστιν VΦ : om. R || 259 ἐν ὑπερβατῷ· (ὑπερβατόν· V) καίτοι γε ἐξῆν εἰπεῖν· καὶ ταῦτα πρὶν φράσαι μοι Σ^{RV} Ald.. Immo construendum est πρὶν καὶ φράσαι μοι ταῦτα, quod metro adversaretur. || 260 μ' ὁ RV : χ' ὠ AU μὲ (eras.; gravis exstat) ὁ M || κέκληκε δεῦρο RV : κέκληκεν ἡμᾶς Φ.

Carion. — Ne te le dis-je pas, depuis longtemps, voyons? C'est ta faute à toi, tu ne m'écoutes pas. Mon maître assure que vous vivrez d'heureux jours, tous affranchis d'une vie morne et chagrine.

Le Coryphée. — Qu'est-ce enfin que cette affaire, et d'où tient-il ce qu'il dit?

Carion. — Il est arrivé amenant ici, drôles que vous êtes, un certain vieillard crasseux, voûté, piteux, ridé, chauve, édenté, et je crois, par le ciel, qu'il est même déprépucé.

Le Coryphée. — O toi qui nous as annoncé de l'or en paroles, comment dis-tu? Répète un peu. Ainsi tu déclares qu'il est venu avec un tas de richesses?

Carion. — Je dis plutôt, moi, avec un tas de maux séniles.

Le Coryphée. — *(Menaçant.)* Penses-tu par hasard qu'après nous avoir mystifiés tu t'en tireras indemne, et cela quand j'ai là un bâton?

Carion. — *(Calme et digne.)* En tous cas me tenez-vous pour un homme de cet acabit en toute circonstance, et croyez-vous que je ne puisse rien dire de sensé?

Le Coryphée. — Qu'il fait le fier, ce pendard! Mais tes jambes crient « aïe! aïe! », en réclamant les liens et les entraves.

Carion. — C'est le cercueil à présent que t'assigne la lettre tirée au sort[1], pour y juger. Et tu ne marches pas? Charon t'offre le jeton.

Le Coryphée. — Puisses-tu crever! O impudent que tu es et farceur de nature, qui nous mystifies et n'as pas encore eu le cœur de nous rien expliquer, à nous qui, après tant de fatigues, n'ayant pas de temps à perdre, sommes bravement venus ici, en passant à travers tant de plants de thym!

[1] Les juges (héliastes) étaient répartis en 10 tribunaux au moyen de jetons tirés au sort qui portaient une des dix premières lettres de l'alphabet. Cf. 972, 1167; *Assemblée*, 681-688.

ΚΑ. Οὔκουν πάλαι δήπου λέγω; Σὺ δ' αὐτὸς οὐκ ἀκούεις.
Ὁ δεσπότης γάρ φησιν ὑμᾶς ἡδέως ἅπαντας
ψυχροῦ βίου καὶ δυσκόλου ζήσειν ἀπαλλαγέντας.
ΧΟ. Ἔστιν δὲ δὴ τί καὶ πόθεν τὸ πρᾶγμα τοῦθ' ὅ φησιν;
ΚΑ. Ἔχων ἀφῖκται δεῦρο πρεσβύτην τιν', ὦ πόνηροι,
ῥυπῶντα, κυφόν, ἄθλιον, ῥυσόν, μαδῶντα, νωδόν·
οἶμαι δὲ νὴ τὸν οὐρανὸν καὶ ψωλὸν αὐτὸν εἶναι.
ΧΟ. Ὦ χρυσὸν ἀγγελίας ἐπῶν, πῶς φῄς; πάλιν φράσον μοι.
Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.
ΚΑ. Πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν.
ΧΟ. Μῶν ἀξιοῖς φενακίσας ἔπειτ' ἀπαλλαγῆναι
ἀζήμιος, καὶ ταῦτ' ἐμοῦ βακτηρίαν ἔχοντος;
ΚΑ. Πάντως γὰρ ἄνθρωπον φύσει τοιοῦτον εἰς τὰ πάντα
ἡγεῖσθέ μ' εἶναι κοὐδὲν ἂν νομίζεθ' ὑγιὲς εἰπεῖν;
ΧΟ. Ὡς σεμνὸς οὑπίτριπτος. Αἱ κνῆμαι δέ σου βοῶσιν
ἰοὺ ἰού, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.
ΚΑ. Ἐν τῇ σορῷ νυνὶ λαχὸν τὸ γράμμα σου δικάζειν,
σὺ δ' οὐ βαδίζεις; Ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν.
ΧΟ. Διαρραγείης. Ὡς μόθων εἶ καὶ φύσει κόβαλος,
ὅστις φενακίζεις, φράσαι δ' οὔπω τέτληκας ἡμῖν,
οἳ πολλὰ μοχθήσαντες οὐκ οὔσης σχολῆς προθύμως
δεῦρ' ἤλθομεν, πολλῶν θύμων ῥίζας διεκπερῶντες.

261 οὔκουν Brunck : οὐκοῦν RVΦ || σὺ VΦ : σοι R || 262-263 vers. om. V¹ add. V² mg. || 265 τιν' RΦ : om. V || 268 φράσον μοι VΦSrel. : φράσον R φράσομαι SA || 271 vers. om. R add. R mg. || ἔπειτ' Bergk : ἡμᾶς ἔπειτ' V ἡμᾶς (-ὰς U) RΦ || 273 φύσει RΦ : om. V || 274 νομίζεθ' VΦ : νομίζεσθ' R || 277 λαχὸν RV²AM²U : λαχὼν V¹M¹. Ad illustrandum λαχὸν τὸ γράμμα σου cf. Ach. 1182 πτίλον... πεσὸν (quod non temere mutandum erat), fr. 647 τὸ στρόφιον λυθὲν, Soph. Oed. C. 1120 τέκν' (εἰ) φανέντ' ἄελπτα, Plat. Leg. 844 c ἐκ Διὸς ὕδατα γιγνόμενα. Ut in his locis, sic etiam in nostro versu subjectum est substantivum neutrius generis. || δικάζειν VΦ : δικάζει (ex -δει corr.) R || 278 ξύμβολον RAMS : ξύμβολόν σοι VU || 279 εἶ VΦ : om. R || 280 v. 260 ὅτου χάριν μ' ὁ δεσπότης ὁ σὸς κέκληκε δεῦρο post 280 repet. Φ, primus del. Bergk || 283 θύμων ῥίζας RVMU : ῥίζας θύμων A.

Carion. — Eh bien, je ne veux plus le cacher. C'est Ploutos, ô mes gens, que mon maître a amené, et qui va vous faire riches?

Le Coryphée. — Se peut-il réellement que nous soyons tous riches?

Carion. — Oui, par les dieux; mieux : des Midas[1]... *(A part)*, s'il vous vient des oreilles d'âne.

Le Coryphée. — Ah! je suis ravi, je jubile, je veux danser de plaisir, si réellement tu dis la vérité.

Carion[2]. — (Avec une mimique appropriée.) *Justement je veux — threttanélo — imitant le Cyclope et des deux pieds comme ceci battant le sol, vous conduire. Allons, courage, enfants, à tout instant criez après moi et, bêlant les mélodies des moutons et des chèvres à l'odeur forte, suivez, le gland découvert, et vous aurez un festin de boucs.*

Le Coryphée. — (Même mimique.) *Et nous, de notre côté, nous chercherons — threttanélo — tout en bêlant, après avoir surpris le Cyclope que tu es, tout crasseux, portant une besace et des légumes sauvages humides de rosée, ivre tandis qu'il conduit ses moutons, et endormi au petit bonheur, nous tâcherons, avec un grand pieu embrasé, de l'aveugler.*

Carion. — *Mais moi, je ferai comme la Circé, celle qui mélangeait les drogues et qui, recevant les compagnons de... Philonidès un jour à Corinthe, les amena, comme s'ils étaient des porcs, à manger de l'ordure pétrie — elle-même*

[1] On disait proverbialement « être plus riche que Midas ». Tout le monde connaît la légende de ce richissime roi de Phrygie. Pour avoir préféré la flûte de Pan à la lyre d'Apollon, celui-ci lui mit sur la tête des oreilles d'âne. Seul le barbier de Midas connaissait ce secret; ne pouvant le garder, il le confia à la terre dans un trou qu'il combla ensuite. Mais à cette place poussèrent des roseaux, qui, agités par le vent, répétaient : « Le roi Midas a des oreilles d'âne ».

[2] Carion imite par plaisanterie le chant dithyrambique du *Cyclope*

ΚΑ. Ἀλλ' οὐκέτ' ἂν κρύψαιμι. Τὸν Πλοῦτον γάρ, ὦνδρες, ἥκει
ἄγων ὁ δεσπότης, ὃς ὑμᾶς πλουσίους ποιήσει.
ΧΟ. Ὄντως γὰρ ἔστι πλουσίοις ἡμῖν ἅπασιν εἶναι;
ΚΑ. Νὴ τοὺς θεούς, Μίδας μὲν οὖν, ἢν ὦτ' ὄνου λάβητε.
ΧΟ. Ὡς ἥδομαι καὶ τέρπομαι καὶ βούλομαι χορεῦσαι
ὑφ' ἡδονῆς, εἴπερ λέγεις ὄντως σὺ ταῦτ' ἀληθῆ.

ΚΑ. Καὶ μὴν ἐγὼ βουλήσομαι — θρεττανελο — τὸν Κύκλωπα
μιμούμενος καὶ τοῖν ποδοῖν ὡδὶ παρενσαλεύων
ὑμᾶς ἄγειν. Ἀλλ' εἶα, τέκεα, θαμίν' ἐπαναβοῶντες
βληχώμενοί τε προβατίων
αἰγῶν τε κιναβρώντων μέλη
ἕπεσθ' ἀπεψωλημένοι· τράγοι δ' ἀκρατιεῖσθε.
ΧΟ. Ἡμεῖς δέ γ' αὖ ζητήσομεν — θρεττανελο — τὸν Κύκλωπα
βληχώμενοι σὲ τουτονὶ πινῶντα καταλαβόντες,
πήραν ἔχοντα λάχανά τ' ἄγρια δροσερά, κραιπαλῶντα
ἡγούμενον τοῖς προβατίοις,
εἰκῇ δὲ καταδαρθόντα που
μέγαν λαβόντες ἡμμένον σφηκίσκον ἐκτυφλῶσαι.

ΚΑ. Ἐγὼ δὲ τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν,
ἣ τοὺς ἑταίρους τοῦ — Φιλωνίδου ποτ' ἐν Κορίνθῳ
ἔπεισεν ὡς ὄντας κάπρους
μεμαγμένον σκῶρ ἐσθίειν, — αὐτὴ δ' ἔματτεν αὐτοῖς, —
μιμήσομαι πάντας τρόπους·

285 ἄγων RΦ : φέρων V ‖ ὑμᾶς VAU : ἡμᾶς RM ‖ 286 ἡμῖν ἅπασιν V : ἅπασιν ἡμῖν RΦ ‖ 289 ὄντως Φ : om. RV ‖ 290 ἐγὼ RΦ : ἔγωγε V ‖ 290-296 θρεττανελο Coulon : θρεττανελὸ RV (in 290 A[2]) UΣV Ald. θρεττανελῶ AMSΣ[R] ‖ 291 παρεν- RVM : παρα- AU ‖ 296 γ' αὖ RVAM : γ' αὖ γε U ‖ 297 βληχώμενοι σὲ RΦ : βληχώμενόν τε V ‖ πινῶντα Brunck : πεινῶντα RVΦ ‖ 298 λάχανά τ' RVMU : λάχαν' A ‖ κραιπαλῶντα R[2] : om. R[1] καὶ κραιπαλῶντα VΦ ‖ 300 -δαρθόντα Porson : -δα[illegible]έντα (-θέντὰ A) R[1]VΦ -δραθέντα R[2] ; cf. ad 527 ‖ 301 ἡμμένον ΦS : om. RV ‖ 302 γε VAU : om. RM ‖ 305 αὐτὴ (-ῆ R) RAU : αὕτη VM ‖ 306 πάντας RΦ : πάντας σοὺς V

la leur pétrissait, — je l'imiterai de toutes manières. Quant à vous, grognant de volupté, suivez votre mère, pourceaux.

Le Coryphée. — *Eh bien donc toi, la Circé, qui mélanges les drogues, opères des sortilèges et salis nos compagnons, nous te saisirons, de volupté imitant le fils de Laerte, nous te suspendrons par les testicules et avec des excréments te frotterons, comme à un bouc, le nez. Toi, comme Aristyllos, la bouche entrebâillée, tu diras : « Suivez votre mère, pourceaux. »*

Carion. — *Allons maintenant, faites trêve ac railleries désormais, et tournez-vous vers un jeu d'un autre genre. Pour moi, je veux, entrant là, prendre en cachette de mon maître un morceau de pain et de la viande, et tout en mâchant me mettre dorénavant à la besogne.* (Il entre.)

DANSE DU CHŒUR

Chrémyle. —*(Sortant de chez lui.)* Vous dire « bonjour », ô gens de mon dème, est vieillot à présent et usé. Mais *(Solennel.)* je vous « salue » pour être venus empressés, les jarrets tendus et sans mollesse. Faites en sorte de me seconder aussi dans tout le reste et d'être réellement les sauveurs du dieu.

Le Coryphée. — Aie confiance ; tu croiras voir en moi Arès tout de bon. Car il serait fort que pour trois oboles

du poète Philoxène, et la danse lubrique de Polyphème (cf. Euripide, *Cyclope*, 40), au milieu des autres Cyclopes (ici le chœur) et de son bétail, moutons et chèvres. Cf. *Guêpes*, 1482 et suiv. « Threttanélo » est une onomatopée rappelant le son des cordes de la lyre avec laquelle Polyphème est censé s'accompagner. Le Coryphée lui réplique dans l'antistrophe. Puis, dans un second groupe de strophe et d'antistrophe, Carion et le Coryphée miment le sujet de Circé (*Odyssée*, 133-399), la magicienne qui voulut séduire Ulysse et changea ses compagnons en pourceaux au point de leur faire manger de l'ordure pétrie : allusion aux débauches de Philonidès et compagnie avec la Circé moderne, Laïs (voir 171, et la note).

ὑμεῖς δὲ γρυλίζοντες ὑπὸ φιληδίας
ἕπεσθε μητρί, χοῖροι.

ΧΟ. Οὐκοῦν σέ, τὴν Κίρκην γε, τὴν τὰ φάρμακ' ἀνακυκῶσαν
καὶ μαγγανεύουσαν μολύνουσάν τε τοὺς ἑταίρους
λαβόντες ὑπὸ φιληδίας
τὸν Λαρτίου μιμούμενοι τῶν ὄρχεων κρεμῶμεν,
μινθώσομέν θ' ὥσπερ τράγου
τὴν ῥῖνα· σὺ δ' Ἀρίστυλλος ὑποχάσκων ἐρεῖς·
« Ἕπεσθε μητρί, χοῖροι. »

ΚΑ. Ἀλλ' εἶά νυν τῶν σκωμμάτων ἀπαλλαγέντες ἤδη
ὑμεῖς ἐπ' ἄλλ' εἶδος τρέπεσθ',
ἐγὼ δ' ἰὼν ἤδη λάθρᾳ
βουλήσομαι τοῦ δεσπότου
λαβών τιν' ἄρτον καὶ κρέας
μασώμενος τὸ λοιπὸν οὕτω τῷ κόπῳ ξυνεῖναι.

⟨ΧΟΡΟΥ⟩

ΧΡ. « Χαίρειν » μὲν ὑμᾶς ἐστιν, ὦνδρες δημόται,
ἀρχαῖον ἤδη προσαγορεύειν καὶ σαπρόν·
« ἀσπάζομαι » δ' ὁτιὴ προθύμως ἥκετε
καὶ συντεταμένως κοὐ κατεβλακευμένως.
Ὅπως δέ μοι καὶ τἆλλα συμπαραστάται
ἔσεσθε καὶ σωτῆρες ὄντως τοῦ θεοῦ.

ΧΟ. Θάρρει· βλέπειν γὰρ ἄντικρυς δόξεις μ' Ἄρη.

307 γρυλίζοντες V : γρυλλίζοντες RΦ || 309 σέ Hemsterhuis ; cf. ad Vesp. 526 : σε RVΦ || γε RVAU : τὲ M || φάρμακ' ἀνα- RVMU : φάρμακα A || 311 λαβόντες RM^{1}Σ$^{Ald.}$: ἣν (ἤν V) λάβωμεν VAM^{2}U v. l. Σ$^{Ald.}$ τὸ ἑξῆς οὐκοῦν σε λαβόντες κρεμῶμεν V mg. || 312 Λαρτίου (-ά- A) Φ : Λαερτίου RV || τὸν Λαερτίου μιμούμενοι post τῶν ὄρχεων κρεμῶμεν transp. V || 313 θ' RΦ : δ V || 314 τὴν VΦ : om. R || Ἀρίστυλλος R : Ἀρίστυλος VAMS ὡς Ἀρίστυλος U || 316 ἀλλ A : om. RM ἄγ' VU || 321 post vers. ⟨Χοροῦ⟩ (⟨Χορός.⟩ Invernizi) Dindorf : om. RVΦ Ald. || 325 συντεταμένως Φ (γοργῶς) Σ$^{RV\ Ald.}$ S : συντεταγμένως RVS || κατεβλακευμένως RΦ : καταβεβλακευμένως V || 327 ὄντως RAMU^2 : ὄντες VU^1 || 328 βλέπειν RΦSΣ$^{RV\ Ald.}$ S : βλέπων V || Ἄρη RAS : Ἄρῃ V Ἄρην MU.

nous nous bousculions[1] chaque fois à l'Assemblée et que Ploutos en personne, je permisse à quelqu'un de me le prendre.

CHRÉMYLE. — Justement je vois aussi Blepsidème que voilà qui vient à nous ; il est clair qu'il a entendu parler de l'affaire à voir son allure et sa promptitude.

Entre Blepsidème, affairé.

BLEPSIDÈME. — Que peut-il donc s'être passé? Où et comment Chrémyle s'est-il enrichi tout d'un coup? Je n'y puis croire. Cependant, par Héraclès, il n'était bruit parmi les gens assis chez les barbiers[2] que de la soudaine fortune de notre homme. Mais cela même m'étonne, qu'ayant du bonheur il envoie chercher ses amis[3]. Il n'est pas de ce pays du moins, ce procédé-là.

CHRÉMYLE. — Eh bien, je parlerai sans rien cacher[4], par les dieux. Blepsidème, nos affaires vont mieux qu'hier; et il t'est permis de partager, car tu es de mes amis.

BLEPSIDÈME. — Tu es devenu vraiment, comme on dit, riche?

CHRÉMYLE. — Ou plutôt je le serai tout à l'heure, s'il plaît à Dieu. Car il y a bien, oui, il y a quelque risque dans l'affaire.

BLEPSIDÈME. — Lequel?

CHRÉMYLE. — En ce sens que...

BLEPSIDÈME. — Dis vite ce que tu as à dire, enfin.

CHRÉMYLE. — Si nous réussissons, c'est le bonheur à

[1] Depuis l'institution du triobole comme salaire, on se disputait les places à l'Assemblée. Voir la *Notice*.

[2] Les Athéniens oisifs avaient l'habitude de s'asseoir chez les barbiers pour bavarder ; c'est là qu'on apprenait les nouvelles et les cancans ; cf. *Oiseaux*, 1441 et suiv.

[3] Il est à remarquer, en effet, que le brave et généreux homme de Chrémyle ne songe pas à lui seul en souhaitant la richesse, mais aux siens, à ses amis, à tous ses concitoyens. Dans son système, tout le monde est riche.

[4] Ainsi parle Étéocle dans les *Phéniciennes* d'Euripide, 701.

Δεινὸν γὰρ εἰ τριωβόλου μὲν οὕνεκα
ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τἠκκλησίᾳ,
αὐτὸν δὲ τὸν Πλοῦτον παρείην τῳ λαβεῖν.

ΧΡ. Καὶ μὴν ὁρῶ καὶ Βλεψίδημον τουτονὶ
προσιόντα· δῆλος δ' ἐστὶν ὅτι τοῦ πράγματος
ἀκήκοέν τι τῇ βαδίσει καὶ τῷ τάχει.

ΒΛΕΨΙΔΗΜΟΣ

Τί ἂν οὖν τὸ πρᾶγμ' εἴη; Πόθεν καὶ τίνι τρόπῳ
Χρεμύλος πεπλούτηκ' ἐξαπίνης; Οὐ πείθομαι.
Καίτοι λόγος γ' ἦν νὴ τὸν Ἡρακλέα πολὺς
ἐπὶ τοῖσι κουρείοισι τῶν καθημένων,
ὡς ἐξαπίνης ἀνὴρ γεγένηται πλούσιος.
Ἔστιν δέ μοι τοῦτ' αὐτὸ θαυμάσιον, ὅπως
χρηστόν τι πράττων τοὺς φίλους μεταπέμπεται.
Οὔκουν ἐπιχώριόν γε πρᾶγμ' ἐργάζεται.

ΧΡ. Ἀλλ' οὐδὲν ἀποκρύψας ἐρῶ μὰ τοὺς θεούς.
Ὦ Βλεψίδημ', ἄμεινον ἢ χθὲς πράττομεν,
ὥστε μετέχειν ἔξεστιν· εἶ γὰρ τῶν φίλων.

ΒΛ. Γέγονας δ' ἀληθῶς, ὡς λέγουσι, πλούσιος;

ΧΡ. Ἔσομαι μὲν οὖν αὐτίκα μάλ', ἢν θεὸς θέλῃ.
Ἔνι γάρ τις, ἔνι κίνδυνος ἐν τῷ πράγματι.

ΒΛ. Ποῖός τις;
ΧΡ. Οἷος —
ΒΛ. Λέγ' ἀνύσας ὅ τι φῄς ποτε.

ΧΡ. ἢν μὲν κατορθώσωμεν, εὖ πράττειν ἀεί·

329 οὕνεκα Φ : εἵνεκα RV ἕνεκα S ‖ 330 ὠστιζόμεσθ' RA[2]MUS (ὠστίας) S[rel.] (τριώβολον) : ὠστιζόμεθ' VA[1] ὠστιζοίμεσθ' SA (τριώβ.) ‖ 331 τῳ AM[2] : τῷ RVM[1]U ‖ 332 καὶ[2] RVA : om. MU ‖ 335 πόθεν Ald. : cf. ad Equ. 1324 : καὶ πόθεν RVΦ ‖ 337 γ' RΦ : om. V ‖ 339 ἀνὴρ Porson : ἀνὴρ RVΦ ‖ 340 ἔστιν RAU : ἔστι VM ‖ θαυμάσιον V : θαυμαστὸν RΦ ‖ 342 γε V : γε τι R τι AM τὸ U ‖ 343 μὰ Φ : νὴ RV ‖ 347 μάλ' RΦ μᾶλλον V ‖ 348 τις RU : om. VAM ‖ 349 οἷος — Ch. Girard (1549) : οἷος· RVΦ ‖ 350 μὲν RΦ : μὲν γὰρ V.

jamais; mais si nous échouons, nous sommes perdus sans ressource.

Blepsidème. — Elle me paraît suspecte cette marchandise-là, et ne me plaît guère. Devenir ainsi tout à coup ultra-riche, et d'autre part craindre encore, cela est d'un homme qui n'a rien de bon sur la conscience.

Chrémyle. — Comment rien de bon?

Blepsidème. — Peut-être est-tu revenu de là[1], par Zeus, coupable d'avoir volé au dieu de l'argent ou de l'or, et après, sans doute, tu as du remords.

Chrémyle. — Apollon préservateur[2], non, par Zeus, ce n'est pas mon cas.

Blepsidème. — Cesse tes sornettes, mon bon; je le sais pertinemment[3].

Chrémyle. — Toi, prends garde de rien soupçonner de pareil sur mon compte.

Blepsidème. — Heu! Car il n'y a rien d'absolument bon chez personne. Mais l'appât du gain l'emporte chez tous.

Chrémyle. — Non, vois-tu, par Déméter, tu ne me parais pas dans ton bon sens.

Blepsidème. — *(A part.)* Combien il est changé de ses manières d'autrefois!

Chrémyle. — Tu es loufoque, l'homme, par le ciel.

Blepsidème. — *(A part.)* Jusqu'à son regard qui ne reste pas en place, mais trahit celui qui a fait quelque mauvais coup.

Chrémyle. — Toi, je sais ce que tu croasses[4]; tu supposes que j'ai volé et tu cherches à recevoir ta part.

Blepsidème. — Je cherche à recevoir ma part? De quoi?

Chrémyle. — Mais il n'en est pas ainsi; le cas est autre.

[1] Du temple de Phoibos-Apollon à Delphes, d'où Chrémyle revient (v. 44).

[2] « Préservateur » est l'épithète caractéristique d'Apollon.

[3] A savoir que de pareils miracles comme celui que tu veux me faire croire sont impossibles.

[4] La vulgarité du mot (cf. *Lysistrata*, 506) dénote la colère.

ἢν δὲ σφαλῶμεν, ἐπιτετρῖφθαι τὸ παράπαν.
ΒΛ. Τουτὶ πονηρὸν φαίνεται τὸ φορτίον
καί μ' οὐκ ἀρέσκει. Τό τε γὰρ ἐξαίφνης ἄγαν
οὕτως ὑπερπλουτεῖν τό τ' αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένου.
ΧΡ. Πῶς οὐδὲν ὑγιές;
ΒΛ. Εἴ τι κεκλοφὼς νὴ Δία
ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον
παρὰ τοῦ θεοῦ, κἄπειτ' ἴσως σοι μεταμέλει.
ΧΡ. Ἄπολλον ἀποτρόπαιε, μὰ Δί' ἐγὼ μὲν οὔ.
ΒΛ. Παῦσαι φλυαρῶν, ὠγάθ'· οἶδα γὰρ σαφῶς.
ΧΡ. Σὺ μηδὲν εἰς ἔμ' ὑπονόει τοιουτονί.
ΒΛ. Φεῦ,
ὡς οὐδὲν ἀτεχνῶς ὑγιές ἐστιν οὐδενός,
ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.
ΧΡ. Οὔ τοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
ΒΛ. Ὡς πολὺ μεθέστηχ' ὧν πρότερον εἶχεν τρόπων.
ΧΡ. Μελαγχολᾷς, ὤνθρωπε, νὴ τὸν οὐρανόν.
ΒΛ. Ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει,
ἀλλ' ἐστὶν ἐπιδηλοῦν τι πεπανουργηκότα.
ΧΡ. Σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος
ζητεῖς μεταλαβεῖν.
ΒΛ. Μεταλαβεῖν ζητῶ; τίνος;
ΧΡ. Τὸ δ' ἐστὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.

354 τό τ' VΦ : τότε δ' R || 355 εἰργασμένου V²Φ : εἰργασμένον RV¹ || 356 πῶς RΦ : πῶς οὖν V || 361 τοιουτονί Porson : τοιοῦτον R¹AM¹ τοιοῦτο R²VM²U || 364 Δήμητρ' RAU : Δήμητραν VM || 365 εἶχεν Brunck : εἶχες R εἶχε VΦ || 366 ὤνθρωπε (ὦ- R) RU ; cf. Nub. 644 : ἄνθρωπε VAM || 367 ἔχει Φ : ἔχεις RV μένει v. l. V mg. || 368 ἐπιδηλοῦν τι πεπανουργηκότα Bos (1715) : ἐπίδηλόν τι πεπανουργηκότι (-γευ- R ; cf. ad 876) RVΦΣ[RV]. Ἐστὶν ἐπιδηλοῦν = ἐπιδηλοῖ eodem fere sensu usurpatum est quo κατηγορεῖ in Aesch. Ag. 271 εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ. || 371 τὸ δ' M : τόδ' RVAU.

Blepsidème. — Serait-ce qu'au lieu d'un larcin tu as volé par force ?

Chrémyle. — Un mauvais esprit te possède.

Blepsidème. — Alors vraiment tu n'a rien pris à personne ?

Chrémyle. — Non certainement.

Blepsidème. — O Héraclès ! Ah ça, où se tourner ? Car la vérité, il ne veut pas la dire.

Chrémyle. — C'est que tu m'accuses avant de m'entendre.

Blepsidème. — Mon cher, je veux à très peu de frais t'arranger cela, avant qu'on le sache à la ville, en bourrant de menues pièces la bouche des orateurs[1].

Chrémyle. — Oui vraiment en ami tu me parais, par les dieux, vouloir dépenser trois mines et en porter en compte douze.

Blepsidème. — Je vois quelqu'un qui ira s'asseoir sur la marche, un rameau d'olivier à la main, avec ses petits enfants et sa femme[2], et ne différera absolument pas des Héraclides de Pamphilos[3].

Chrémyle. — Non pas, malheureux, mais ce sont les gens de bien seuls [les justes et les sages] que dès maintenant je vais faire riches.

Blepsidème. — Que dis-tu ? As-tu volé tant que cela ?

Chrémyle. — Ah ! que de misères ! Tu me feras mourir.

Blepsidème. — C'est toi plutôt qui te feras mourir, ce me semble.

Chrémyle. — Non certes, puisque c'est Ploutos, méchant que tu es, que je possède.

[1] Cf. *Paix*, 645 : « les étrangers avec de l'or bourraient la bouche des démagogues ». Allusion au verbiage souvent indiscret des orateurs et à leur vénalité. Il fallait acheter leur silence.

[2] C'est ainsi qu'au tribunal les accusés imploraient la pitié des juges. Cf. *Guêpes*, 676 et suiv., 568.

[3] Pamphilos avait peint un tableau, exposé au Portique, représentant les Héraclides, après la mort d'Héraclès, implorant le secours des Athéniens contre leur persécuteur Eurysthée.

ΒΛ. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας;
ΧΡ. Κακοδαιμονᾷς.
ΒΛ. Ἀλλ' οὐδὲ μὴν ἀπεστέρηκάς γ' οὐδένα;
ΧΡ. Οὐ δῆτ' ἔγωγ'.
ΒΛ. Ὦ Ἡράκλεις, φέρε, ποῖ τις ἂν
τράποιτο; Τἀληθὲς γὰρ οὐκ ἐθέλει φράσαι.
ΧΡ. Κατηγορεῖς γὰρ πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
ΒΛ. Ὦ τᾶν, ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
ἐθέλω διαπρᾶξαι πρὶν πυθέσθαι τὴν πόλιν,
τὸ στόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
ΧΡ. Καὶ μὴν φίλως γ' ἄν μοι δοκεῖς νὴ τοὺς θεοὺς
τρεῖς μνᾶς ἀναλώσας λογίσασθαι δώδεκα.
ΒΛ. Ὁρῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον
ἱκετηρίαν ἔχοντα μετὰ τῶν παιδίων
καὶ τῆς γυναικός, κοὐ διοίσοντ' ἄντικρυς
τῶν Ἡρακλειδῶν οὐδ' ὁτιοῦν τῶν Παμφίλου.
ΧΡ. Οὔκ, ὦ κακόδαιμον, ἀλλὰ τοὺς χρηστοὺς μόνους
[ἔγωγε καὶ τοὺς δικαίους καὶ σώφρονας]
ἀπαρτὶ πλουτῆσαι ποήσω.
ΒΛ. Τί σὺ λέγεις;
Οὕτω πάνυ πολλὰ κέκλοφας;
ΧΡ. Οἴμοι τῶν κακῶν,
ἀπολεῖς.
ΒΛ. Σὺ μὲν οὖν σεαυτόν, ὥς γ' ἐμοὶ δοκεῖς.
ΧΡ. Οὐ δῆτ', ἐπεὶ τὸν Πλοῦτον, ὦ μόχθηρε σύ,

373 μὴν RΦ : μήν γ' V || 374 ὦ RVU : om. M ὦ A || τις RVMU : περ A || ἂν Kuster : οὖν RVΦ || 375 ἐθέλει ex Mutin. 1. 2. Dindorf : ἐθέλεις RVΦ || 377 τοῦτ' RΦ : ταῦτ' V || 378 -πρᾶξαι (-ά- U) RΦ : -πράξασθαι V || 379 κέρμασιν RAS : κέρμασι VMU || 380 φίλως RΦ : φίλος VU[2] || δοκεῖς AU : δοκῇς (-ῆς V) RV δοκοῖς M || 382 -εδούμενον VΦ : -ευδούμενον R || 384 κοὐ RΦ : οὐ V οὐδὲν S || 387 vers. del. Willems || δικαίους R : δεξιοὺς VΦS || καὶ RΦ : καὶ τοὺς VS || 389 πάνυ RΦ : om. V || 390 σεαυτὸν RΦ : σαυτὸν V || γ' ἐμοὶ (corr. ex γ' ἐμοι R ; cf. ad 736) RVA[2]U : γέ μοι A[1]M : || 391 ἐπεὶ AM : ἐπειδὴ (δη supra lin. V) RVU·

Blepsidème. — Toi, Ploutos? Lequel?

